Παραγενόμενος ἐγὼ Κοσμᾶς ὁ ἐλάχιστος μοναχὸς ὁ Τζιντζιλούκης ἐν τῷ ἁγίῳ τούτῳ ὄρει, ἅτε θεοφιλοῦς τῆς ἐπιταγῆς οὔσης καὶ εὐλόγου καὶ δικαίας τῆς βασιλικῆς, θείας, συνεκαλεσάμην ἅπαντας τοὺς ἐν τῷ ὄρει ὑπάρχοντας εὐλαβεῖς μοναχοὺς καὶ καθηγουμένους τῶν ἑκατὸν ὀγδοήκοντα καὶ πλέον ὑπάρχοντας, τοῦ παραγενέσθαι πρὸς ἡμᾶς ἐν τῇ Καρυῶν Λαύρᾳ ὡς ἔθος· οἳ καὶ συνηθροίσθησαν ἅμα τῷ μηνυθῆναι αὐτοὺς ἅπαντες· καὶ πολλὰ μὲν τῷ Θεῷ ηὐχαρίστησαν, οὐκ ὀλίγα δὲ καὶ ὑπὲρ τοῦ κραταιοῦ ὑπερηύξαντο, ὅτι ὑπὲρ τὸ τούτοις καταθύμιον εἰς πέρας ἤγαγε καὶ ὃ λόγῳ ὑπέσχετο ἐπὶ τῶν ἔργων ἐκπεπλήρωκε· συγκροτηθέντες οὖν ἡμεῖς τοῖς ῥηθεῖσι καθηγουμένοις, καὶ ἐν τῷ πρώτῳ τοῦ ὄρους, καὶ τῶν μεταξὺ ἀμφοτέρων ἀκροασάμενοι, εὕρομεν μηδὲν ἄλλο τι ἢ ἐπήρειαν δαιμόνων ὑπάρχοντα τὰ παρ' αὐτῶν προτεινόμενα καὶ ἔριν ἀλόγιστον· ἐπεζητήσαμεν οὖν ἡμεῖς τὸ τοῦ ὄρους χρυσοβούλλιον τυπικόν, καὶ παρὰ τῶν μακαριστῶν βασιλέων χρυσοβούλλια ἠνέχθησαν ἅπαντα, καὶ εἰς ἐπήκοον πάντων ὑπανεγνώσθησαν· ἠρωτήθησαν δὲ καὶ τίνες οἱ τύποι οὓς διορθωθῆναι τῆς βασιλικῆς ἐδέοντο μεγαλειότητος; καὶ πρόγε πάντων, ἔφησαν, τὴν ἐν τοῖς τυπικοῖς αὐτῶν προαποκειμένην ἀσφάλειαν, ἤτοι τὸ μὴ εὐνούχους ἢ ἀγενείους δέχεσθαι ἢ ἀποκείρειν ἢ ἐν ἀγρῷ ἢ ἐν Μοναστηρίῳ κατέχειν τούτους, καταφρονηθῆναι παρά τινων καὶ δεῖσθαι πάντως τὸ τοιοῦτον κακὸν διορθώσεως.

Εὐθὺς οὖν εἰς ἐκδίκησιν εἰς αὐτὸ τοῦτο κινηθέντες καὶ διόρθωσιν τοῦ προσήκοντος, εὕρομεν ἅπαντας ἀπό τε μεγάλων καὶ μικρῶν εὐπειθήσαντας καὶ σὺν προθυμίᾳ πάσῃ ὑποσχομένους τοῦ ὄρους ἅπαντα τὰ τοιαῦτα πρόσωπα ἀπελάσαι· ἡ δὲ τούτων ἔξωσις κοινῇ γνώμῃ καὶ θελήσει τοῦ τε εὐλαβεστάτου μοναχοῦ ἡγουμένου τῆς Λαύρας καὶ Ἀθανασίου τοῦ εὐλαβεστάτου μοναχοῦ τῆς τῶν Ἰβήρων μονῆς καθηγουμένου καὶ ἡμῶν αὐτῶν κρίσει καὶ δοκιμασίᾳ ἐπιτέτραπται γενέσθαι παρά τε τῶν εὐλαβεστάτων μοναχῶν ἐπιτηρητῶν τοῦ ὄρους καὶ τῶν συναποσταλέντων τούτοις γερόντων.

ΚΕΦΑΛΑΙΟΝ Β'.

Δεύτερον οὖν ἐπὶ τούτῳ ἐκίνουν κεφάλαιον, ὡς ὅτι πλοῖα τινὲς τῶν μεγάλων μοναχῶν καὶ ἡγουμένων κατασκευάσαντες, οἶνον καί τινα ἕτερα εἴδη ἐξωνούμενοι, εἴς τε τὴν βασιλεύουσαν καὶ ἑτέρας πόλεις ἀπέρχονται καὶ ἐμπορικῶς ταῦτα διαπιπράσκουσι· ζητήσαντες οὖν καὶ περὶ τούτου εἴγε τετύπωται τούτοις παρά τινος μετὰ τὴν τοῦ τυπικοῦ διάταξιν πλοῖα κεκτῆσθαι, εὕρομεν ἔγγραφον καὶ ἐνυπόγραφον τυπικὸν ὑπὸ τοῦ μακαρίτου βασιλέως Κυροῦ Βασιλείου, κοινῇ γνώμῃ τοῦ τηλικαῦτα πρώτου καὶ πάντων τῶν ἐν τῷ ὄρει μοναχῶν προκαθημένων γεγενημένον, οὐ μόνον οὐκ ἐπιτρέπον, ἀλλὰ καὶ κωλύον μᾶλλον τὸν τοιοῦτον καπηλικὸν πορισμὸν καὶ ἀπέλασιν τὴν ἐκ τοῦ ὄρους τελείαν τιθέμενον τὸ ἐπιτίμιον τοῖς τοιοῦτόν τι κατατολμῶσι διαπράξασθαι, κεκτῆσθαι δὲ συγχωροῦν πλοιάρια μικρὰ καὶ μέχρι Θεσσαλονίκης καὶ τῶν ταύτης ἔνδον πολιχνίων τὸν περιττεύοντα οἶνον τοῖς μοναχοῖς ἀπεμπολεῖν παρεγγυώμενον εἴγε μὴ πλοῖα ἔξωθεν παραγένωνται, μὴ μέν τοι ἐξ ἄλλων ὠνεῖσθαι καὶ εἰς ἄλλους πωλεῖν, ὅπερ φιλαργυρίας καὶ αἰσχροκερδείας ἐστὶν ἴδιον· ἠβουλήθην μὲν οὖν καὶ αὐτὸς ἀναγκᾶσαι τούτους τῷ αὐτῷ στοιχεῖν κανόνι, ἀλλ' ἔδοξε τὸ πρᾶγμα βαρὺ λίαν καὶ ἐπαχθές, διεβεβαιώσαντο γὰρ ὡς εἰμὴ πλοῖα κέκτηνται εἰς μετακομιδὴν τῶν τῆς Μονῆς χρειῶν καὶ διάπρασιν τῶν ὀπωρῶν καὶ τοῦ περισσεύοντός τισιν οἴνου, μηδὲ μίαν ἡμέραν ἐν τῷ ὄρει προσμεῖναι δύνανται, πολλῆς οὖν περὶ τούτου ζητήσεως γενομένης συνηρκέσθησαν ἅπαντες, ἵνα κέκτηται πλοιάρια μικρὰ εἰς χρείαν μόνην καὶ ὑπηρεσίαν ἐξαρκοῦντα αὐτοῖς, ἀπέρχεσθαι δὲ καὶ μέχρι Θεσσα-

λονίκης καὶ Αἴνου, καὶ τὰ περιττεύοντα τούτοις διδόντες οἱ μοναχοὶ ἀντιλαμβάνωνται τὰ δέοντα, μὴ ἐξεῖναι δέ τινι τούτων κατὰ τὰς σεβασμίας καὶ ἁγίας ἡμέρας τῆς ἁγίας καὶ μεγάλης Τεσσαρακοστῆς προόδους ποιεῖν καὶ ἔξω τοῦ ὄρους ἐξέρχεσθαι, ἀλλὰ περιμένειν τοῖς οἰκείοις μοναστηρίοις καὶ ἀπερισπάστως Θεῷ προσανέχειν καὶ ἑαυτοῖς· μήτε τὰ ἐκ τοῦ ὄρους, μήτε ἔξωθεν εἴδη τινὰ ἐξωνεῖσθαι, σῖτόν φημι ἢ κριθὴν ἢ οἶνον ἢ ἔλαιον ἢ ἕτερόν τι τὸ οἱονοῦν καὶ ἐμπορικῶς ἀλλαχόσε ὡς οἱ βιωτικοὶ πραγματεύεσθαι· εἰδὲ καὶ γέγονεν οἰκονομικῶς καὶ τετύπωται, ἀσφαλιζομένων δηλαδὴ τῶν τὰ τοιαῦτα μελλόντων κτήσασθαι πλοῖα πρός τε τὸν πρῶτον τοῦ ὄρους καὶ τὸ κοινόν, ὡς εἴγε τοῦ παρόντος τυπικοῦ καταφρονήσωσιν, ἵνα πιπράσκωνται τὰ τοιούτων πλοῖα παρά τε τοῦ πρώτου καὶ τοῦ κοινοῦ, καὶ τὸ τούτων τίμημα διδόσθαι τῷ τοῦ ὄρους οἰκονόμῳ, ὡς ἂν εἰς κοινὴν χρῆσιν ἐξοδιάζηται· μηκέτι δὲ συγχωρεῖσθαι τὸν τοῦτο διαπραξάμενον ἕτερον πλοῖον κτᾶσθαι ἢ τοῦ ὄρους ἐξέρχεσθαι, ἵνα καὶ οἱ λοιποί, ἀποστολικῶς φάναι, φόβον ἔξωσι· τὰ δὲ μεγάλα πλοῖα κέκριται παραπωλῆσαι τέλεον, ἐκτὸς τῶν φιλοτιμηθέντων ἔχειν, τὰ διὰ χρυσοβουλλίων σιγγιλίων τῶν μακαριστῶν βασιλέων ἡμῶν καὶ τῆς τοῦ Βατοπεδίου Μονῆς, οἷα καὶ ταύτης ἔκπαλαι τυπωθείσης πλοῖον κεκτῆσθαι δι' ἐγγράφου ἀρεσκείας καὶ θελήσεως τοῦ τηνικαῦτα πρώτου καὶ τῶν λοιπῶν τοῦ ὄρους καθηγουμένων.

ΚΕΦΑΛΑΙΟΝ Γ'.

Τρίτον δὲ προετείνοντο κεφάλαιον λέγοντες, ὅτι πάντων τῶν τυπικῶν καὶ τῶν βασιλικῶν διαταγῶν προσταττόντων ἐπίσης μηδόλως ἐξεῖναι τινὰ τῶν μοναχῶν κτήνη ἢ ζεύγη βοϊκὰ κεκτῆσθαι, μήτε μὴν ἀπὸ ξένης χάριν νομῆς εἰς τὸ ὄρος εἰσέρχεσθαι, εἰ μήτοι κατὰ θέλησιν τῶν Μοναχῶν τοῦτο γίνεσθαι· τανῦν δὲ πολλὰ τῶν Μοναστηρίων ἐκτήσαντο πρόβατα καὶ αἶγας, ἡ δὲ Λαύρα τοῦ κυροῦ Ἀθανασίου καὶ βόας· συνειδότες οὖν καὶ ἡμεῖς, ὡς εὐλόγως περὶ τούτου κινοῦσι καὶ καλῶς, πᾶσαν ἐθέμεθα σπουδὴν τοῦ ἀποκτήσασθαι ταῦτα, οἷς ἡ τούτων προσεγένετο κτῆσις· καὶ δή, οἱ μὲν ἄλλοι πάντες σὺν προθυμίᾳ τὴν τούτων ἀπόκτησιν κατεδέξαντο, ὁ δὲ εὐλαβέστατος μοναχὸς Νεόφυτος ὡς ἀδύνατόν ἐστι τούτων ἄνευ τὸ πολὺ πλῆθος τῶν ἐν τῇ Λαύ-

ρᾳ μοναχῶν καὶ ἀδυνάτων γερόντων τραφῆναι, παρεβάλετο εἰς εὔλογον δῆθεν μὴ παρ' αὐτοῦ τὴν τούτων γενέσθαι εἰς τὸ ὄρος εἰσαγωγήν, ἀλλὰ πρὸ πεντήκοντα χρόνων ἀπὸ τῶν πρὸ αὐτοῦ ἡγουμενευσάντων, καταδέξασθαι δὲ τὸ γεγονὸς καὶ τοὺς τοῦ ὄρους καθηγουμένους· ἡμῶν δὲ καὶ αὖθις ἰσχυρῶς ἐνισταμένων, τὴν τῶν προβάτων ἐξέωσιν κατεδέξαντο, ἀγελέας δὲ βοῶν κεκτῆσθαι ἐν τόπῳ ἰδιάζοντι καὶ ἀπῳκισμένῳ εἰς παρηγορίαν τῶν ἀσθενῶν καὶ ταλαιπώρων γερόντων ᾐτεῖτο· κατένευσαν εἰς τοῦτο καὶ οἱ τοῦ ὄρους καθηγούμενοι ἅπαντες, καὶ ὁ αὐτῶν πρῶτος ὁ προρρηθεὶς εὐλαβέστατος μοναχὸς Θεοφύλακτος· ἐφάνησαν καὶ ἡμᾶς δυσωποῦντες περὶ τούτου, καὶ δὴ ἰδόντες καὶ ἡμεῖς αὐτοί, ὡς ἀδύνατον ἐστὶν ὀκτακοσίους μοναχοὺς ἐκ μόνου ἰχθύος τρέφεσθαι, ᾠκονομήσαμεν τῇ γνώμῃ τοῦ καθηγουμένου ἥξαντες καὶ τῇ τῶν γερόντων καὶ καθηγουμένων τοῦ ὄρους συγκατανεῦσαι ἀρεσκείᾳ, καὶ τετύπωται μήκοθεν πάντων τῶν Μοναστηρίων ὑπάρχειν τὰς ῥηθείσας βοῦς ὡς ἀπὸ μιλίων εἴκοσι, καὶ παρὰ μοναχῶν αὐτὰς νέμεσθαι, καὶ μὴ τὸ σύνολον τοῖς μοναστηρίοις πλησιάζειν.

ΚΕΦΑΛΑΙΟΝ Δ'.

Ἐπειδὴ καὶ ζεῦγος ἐτυπώθη ἄνωθεν κεκτῆσθαι τὴν Λαύραν τοῦ Κυροῦ Ἀθανασίου εἰς ὑπηρεσίαν τῆς ζύμης τοῦ ἄρτου τῶν ἀδελφῶν, τᾳνῦν δὲ εἰς ὀκτακοσίους ἀπὸ ἑκατὸν ηὐξήνθησαν, ἤρεσεν ἅπασι τοῖς ἐν τῷ ὄρει Μοναχοῖς καὶ ἕτερα ζεύγη τρία προστεθῆναι τῷ ἑνί· καὶ τῇ πάντων ἀρεσκείᾳ καὶ αὐτοὶ συναινέσαντες τυποῦμεν, κεκτῆσθαι τὰ τοιαῦτα ζεύγη εἰς ὑπηρεσίαν τῆς τῶν ἀδελφῶν ζύμης, ὡς εἴρηται· μὴ μέν τοι τὸ σύνολον μετὰ τῶν τοιούτων ἀροτριᾷν ἢ σπόρον τῇ γῇ καταβάλλεσθαι· ᾠκονομήσαμεν δὲ καὶ τὴν τοῦ Βατοπεδίου Μονὴν διὰ τὸ πολυάνθρωπον καὶ αὐτὴν ὑπάρχειν, ἓν ζεῦγος εἶναι εἰς ὑπηρεσίαν τῆς ζύμης τοῦ ἄρτου τῶν ἀδελφῶν, ὡς ἀρεσθέντων ἐν τούτῳ τοῦ τε πρώτου καὶ τῶν λοιπῶν ἁπάντων γερόντων.

ΚΕΦΑΛΑΙΟΝ Ε'.

Ἀλλὰ καὶ περὶ πλοίων ᾠκονόμηται παρὰ πάντων, ἵνα κέκτηται ἡ Μονὴ τῶν Ἀμαλφηνῶν διὰ τὸ μηδόλως δύνασθαι ταύτην ἄλλως συνί-

στασθαι, μὴ μέν τοι δὲ εἰς ἐμπορίαν τοῦτο κεχρῆσθαι, ἀλλ' εἰσέρχεσθαι δι' αὐτοῦ εἰς τὴν βασιλεύουσαν, καὶ εἰσάγειν εἴτι ἐκ τῆς κατ' αὐτοὺς Μονῆς βούλονται καὶ παρὰ τῶν φιλοχρίστων διακονεῖσθαι.

ΚΕΦΑΛΑΙΟΝ ς'.

Ἐπειδὴ καί τινες τῶν παρ' ἡμῖν περὶ τούτου ἐνήγαγον, ὡς ὅτι ξύλον ἐργάσιμον καὶ σανίδας καὶ δᾳδας καὶ πίσσαν ἐξάγουσι τινὲς τῶν Μοναχῶν ἐκ τοῦ ὄρους διὰ πλοίων καὶ ἀποπέμπουσι ταῦτα τοῖς κατὰ κόσμον, κεκώλυται δὲ τοῦτο καὶ παρὰ τοῦ παλαιοῦ τυπικοῦ, ἐπισκώπτομεν μὴ δεῖν τινὰ τοῦ λοιποῦ τὸ τοιοῦτον διαπράττειν, ἀλλὰ τοῖς ἔνδον τοῦ ὄρους ταῦτα ἀπεμπολεῖν εἰς ἰδίαν τῶν μοναστηρίων αὐτῶν χρείαν· εἰδέ τις φωραθείη τοῦτο διαπραξάμενος, ζημιωθήσεται καὶ αὐτὴν τὴν ναῦν, ὃν τρόπον εἰρήκαμεν ἄνωθεν.

ΚΕΦΑΛΑΙΟΝ Ζ'.

Περὶ δὲ τοῦ Μοναχὸν ἀπὸ Μοναστήριον ἐξέρχεσθαι καὶ ὑφ' ἑτέρου δέχεσθαι δεξιώτερον ὁ οὐρανοφάντωρ Βασίλειος διετάξατο· ἐκώλυσε δὲ τοῦτο μὴ γίνεσθαι κατὰ τὸ τοῦ ὄρους τυπικόν, μὴ ἐξεῖναι δηλαδὴ διαλαμβάνον ἄνευ εἰδήσεως καὶ θελήσεως τῶν ἡγουμένων δέχεσθαι ἀδελφὸν ἀπὸ μοναστήριον ἐξελθόντα ὑφ' ἑτέρας ἀδελφότητος, εἰ μὴ τοῦτον ὁ τῆς αὐτοῦ μονῆς προεστὼς παραδῷ ταύτῃ θελήσει οἰκείᾳ καὶ συναινέσει τῆς ὑπ' αὐτῷ ἀδελφότητος.

ΚΕΦΑΛΑΙΟΝ Η'.

Ἦλθε δὲ εἰς τὰς ἡμετέρας ἀκοὰς καὶ τοῦτο, μᾶλλον δὲ ἐπὶ τῶν πραγμάτων αὐτῶν εὕρομεν, ὡς κατατολμῶσι τινὲς τὰς διατάξεις τῶν ἀποιχομένων ἡγουμένων ἀνατρέπειν καὶ ἀκυροῦν· καὶ ἐν οἷς ἐκεῖνοι διορίζονται ἐπιδιατάττεσθαι, καὶ εἰσάγειν ἡγουμένους, καὶ ἐξάγειν, καὶ τἄλλα πάντα ἀπερισκέπτως ποιεῖν· τυποῦμεν καὶ περὶ τούτου, τῷ παλαιῷ τυπικῷ συνῳδὰ ποιοῦντες, ἵνα βέβαιοι συντηρῶνται καὶ ἀμετακίνητοι τῶν μεθισταμένων αἱ διατάξεις, καὶ κατὰ τὴν περίληψιν τῶν ἐκείνων γινομένων διαθηκῶν πάντα γίνεσθαι καὶ συνεργεῖσθαι, εἰδὲ

τινες πειραθεῖεν παρὰ ταῦτά τι διαπράξασθαι, τὸ μὲν πραχθὲν παρ' αὐτῶν μενέτω ἀργὸν καὶ ἀνόνητον, οὗτοι δὲ τοῖς τῶν κανόνων ἐπιτιμίοις ὑποκείσθωσαν.

ΚΕΦΑΛΑΙΟΝ Θ'.

Ἔγνωσται δὲ τῇ ταπεινώσει ἡμῶν, ὡς καὶ δωρεάς τινὲς ἀγρῶν καὶ μοναστηρίων καὶ πράσεις αὐτῶν καὶ ἀνταλλαγὰς ποιοῦντες καὶ ἐν ταύταις τὸν Τίμιον Σταυρὸν ἰδιοχείρως διαχαράττοντες καὶ πολλοὺς ἄλλους προσκαλούμενοι μάρτυρας τῶν γεγονότων, καὶ τούτων ὁμοίως ἐκείνοις συγκαταπηγνύντων τὰ ἴδια σίγνα ἰδιοχείρως, εἰς μετάμελον μετὰ ταῦτα χωροῦσι καὶ τῶν γινομένων ἀνατροπήν, θρασέως, φεῦ, καὶ τολμηρῶς τοῦ τοιούτου καταφρονοῦσι πράγματος, κἀντεῦθεν πρῶτον μὲν τὴν τοῖς χριστιανοῖς ἁρμόζουσαν ἀθετοῦντες πίστιν, ἔπειτα δὲ καὶ τὴν ἰδίαν καταπατοῦντες συνείδησιν· διά τοι τοῦτο, ἀρεσκείᾳ τοῦ εὐλαβεστάτου πρώτου καὶ τῶν λοιπῶν πάντων καθηγουμένων, τετύπωται παρ' ἡμῶν ἵνα τοῦ λοιποῦ ὁ τοῦ τοιούτου καταφρονῶν πράγματος καὶ αὐτῆς ἐκπίπτειν τῆς ἡγουμενείας καὶ ἕτερος ἀντ' αὐτοῦ ἐκ τῆς αὐτῆς Μονῆς προχειρίζεσθαι καὶ τὰ παρ' αὐτοῦ γεγονότα ἐπὶ τῆς προτέρας μένειν ἀσφαλείας.

ΚΕΦΑΛΑΙΟΝ Ι'.

Περὶ δὲ κοπῆς ξύλων ἐγκαλοῦσί τινες μοναχοί, ὅτι οἱ ὑπερέχοντες τῶν ἄλλων καὶ ὑπερισχύοντες κωλύουσιν αὐτοὺς τοῦ κόπτειν· ὅθεν περὶ ξύλων καύσεως μαγειρείου καὶ φούρνου ἀρτοποιΐας τε τετύπωται καὶ περὶ τούτου ἵνα λαμβάνωσιν ὅθεν βούλονται, τὰ δὲ εἰς οἰκοδομάς, ἐν μὲν τῷ κοινῷ τόπῳ τούτους κόπτειν ἔξεστιν ἀκωλύτως, ἐν δὲ τοῖς ὁρίοις ἑνὸς ἑκάστου τῶν Μονῶν δι' εἰδήσεως καὶ ἀδείας τοῦτε ἡγουμένου καὶ μοναχῶν τῆς μονῆς κόπτειν, ὅσα μόνον τούτοις ἐπιτέτραπται, ἐν δὲ τοῖς ἐλευθέροις τόποις, κόπτειν ἀκωλύτως.

ΚΕΦΑΛΑΙΟΝ ΙΑ'.

Πολλοὶ μὲν τῶν μοναχῶν ἐνεκάλουν, ὡς ἦν μέν ποτε πολὺς ὁ τοῦ

κοινοῦ τόπος, καὶ διαρκῶν εἰς τὴν χρείαν αὐτῶν, διὰ δὲ τοὺς κατὰ καιροὺς πρώτους καὶ μερικὰς φιλίας ἢ καὶ ἄλλυτα μετά τινων μοναχῶν καὶ καθηγουμένων ὀλιγοστῶν ἢ καὶ πλειόνων δωρεῖσθαι τοῦτον ἐν οἷς ἂν ἐβούλοντο, καὶ ὀλιγωθῆναι μὲν τὸν ἐπίκοινον τόπον, στενοχωρεῖσθαι δ' ἐντεῦθεν τὰ μοναστήρια καὶ κελλία. Καὶ δὴ τῇ πάντων κρίσει καὶ ἀρεσκείᾳ τετύπωται μὴ ἐξεῖναι τοῦ λοιποῦ μηδενὶ τῶν μελλόντων ἐν τῇ τοιαύτῃ ἀνιέναι ἀρχῇ ἐκ τῶν κοινῶν τοπίων δωρεῖσθαί τινι ἢ ἀπεμπολεῖν.

ΚΕΦΑΛΑΙΟΝ ΙΒ'.

Τὴν δὲ Λαύραν τῶν Καρεῶν, φασίν, ἀντὶ Λαύρας ἐμπόριον γενέσθαι, ὥστε καὶ αὐτὰ τὰ ἀπηγορευμένα μοναχοῖς πιπράσκεσθαι ἐν αὐτῇ· διὸ καὶ ἐκρίναμεν καὶ ἐτυπώσαμεν τῇ ἀρεσκείᾳ πάντων μένειν ταύτην κατὰ τὸν παλαιὸν τύπον, καὶ ἐν οἷς ἂν εὑρίσκωνται τὰ ἀπηγορευμένα ταῦτα (αἰδοῦμαι γὰρ λέγειν κατ' ὄνομα αὐτὰ) ἐκδιώκειν τούτους τέλεον ἐκ τῆς τοιαύτης Λαύρας Καρεῶν.

ΚΕΦΑΛΑΙΟΝ ΙΓ'.

Ἐπειδὴ πολὺς ὁ θρύλλος ἦν, διὰ τὸ λέγειν σχεδὸν ἅπαντας ὅτι μετὰ πολλῶν ὑπουργῶν οἱ τῶν μεγίστων μονῶν Λαύρας ἡγούμενοι ἐν ταῖς συνάξεσι παραγενόμενοι πολλῶν κακῶν αἴτιοι τῷ ἀθροίσματι τῶν γερόντων καὶ καθηγουμένων καὶ τῇ τούτων συναγωγῇ γίνονται, ὡς ἐντεῦθεν ἔσωθεν μὲν φόβους, ἔξωθεν δὲ μάχας ἀποτίκτεσθαι, ἀλλὰ καὶ αὐτοῖς τοῖς κρίνουσι καὶ δικάζουσι τοῦ κοινοῦ κινούμενοι τὰ πρὸς διόρθωσιν ἐμπόδιον οὐ μικρὸν τὸ τοιοῦτον καθίσταται, διὰ τὸ ἕκαστον τῶν ὑπουργῶν ὃ ἐὰν θέλῃ θρασέως καὶ αὐθαδῶς λέγειν καὶ πρὸς τοὺς κρίνοντας διαμάχεσθαι· προσεῖπον δὲ ὡς ἐπὶ τὸ πλεῖστον τῷ τῆς Λαύρας καθηγουμένῳ τὸ πᾶν, ὁ δὲ τοιοῦτος εὐλαβέστατος μοναχὸς Νεόφυτος καὶ καθηγούμενος τῆς τοιαύτης τοῦ κυροῦ Ἀθανασίου Λαύρας, καὶ εἰς τὰ ἄλλα μὲν πάντα καταπεισθεὶς διὰ φιλάγαθον πρόθεσιν, τῇ ἡμετέρᾳ ταπεινότητι ὀφθείς, καὶ ἐν τούτῳ δὲ τῶν ἄλλων πάντων φανεὶς καταπειθέστερος, ἀρκεῖσθαι ἔλεγεν εἰς τὴν τοῦ παλαιοῦ τυπικοῦ διάταξιν, αὐτὸν μὲν μετὰ δύο ὑπουργῶν παραγίνεσθαι, μετὰ

λαβεῖν τὴν βεβαίωσιν καὶ διαμονὴν ἐν τῇ κρίσει καὶ ἐπισκέψει Ἰωάννου τοῦ φιλαγάθου κραταιοῦ τε καὶ εἰρηνοποιοῦ βασιλέως ἡμῶν ἀνατέθηται, καὶ ὡς παρὰ τῆς αὐτοῦ ἀηττήτου καὶ κραταιᾶς βασιλείας ζώσῃ φωνῇ διορισθέντων καὶ ἀποσταλέντων καὶ διὰ τιμίας καὶ ἁγίας κελεύσεως τῶν θείων βασιλικῶν γραμμάτων δεξαμένων ἡμῶν τὰ καθέκαστα ἐξετάσαι καὶ ἅπασαν δηλῶσαι διαφορὰν εἰρηνοποιῆσαι καὶ τυπῶσαι ἅπαντα τὰ πραχθέντα, ὡς κανονικῶς προβάντα ἀποδέδεικται καὶ βασιλικῇ σφραγίδι ἐπησφάλισται ἐν ἔτει ϛυπ΄. Ἰωάννης ἐν Χριστῷ τῷ Θεῷ, πιστὸς βασιλεὺς καὶ αὐτοκράτωρ Ῥωμαίων.

† Ἀθανάσιος μοναχὸς καὶ πρῶτος. † Ἀθανάσιος μοναχὸς καὶ ἡγούμενος τῆς μεγίστης λαύρας. † Χριστοφόρος μοναχὸς καὶ ἡγούμενος τοῦ Α. † Ἰάκωβος μοναχὸς πρεσβύτερος καὶ ἡγούμενος. † Θωμᾶς μοναχὸς πρεσβύτερος καὶ ἡγούμενος. † Ἰωάννης μοναχὸς καὶ πρεσβύτερος. † Καλλίνικος μοναχὸς πρεσβύτερος καὶ ἡγούμενος. † Ἄνθιμος μοναχὸς καὶ ἡγούμενος. † Ἰωάννης μοναχὸς καὶ ἡγούμενος. † Ἠλίας μοναχὸς πρεσβύτερος καὶ ἡγούμενος. † Ἀρσένιος μοναχὸς καὶ ἡγούμενος. † Δανιὴλ μοναχὸς καὶ ἡγούμενος. † Ἰωάννης μοναχὸς καὶ ἡγούμενος. † Ἀντώνιος μοναχὸς καὶ ἡγούμενος. † Θεοδόσιος μοναχὸς καὶ ἡγούμενος. † Ἀνδρέας μοναχὸς καὶ ἡγούμενος. † Διονύσιος μοναχὸς πρεσβύτερος καὶ ἡγούμενος. † Θωμᾶς μοναχὸς καὶ ἡγούμενος. † Ἱλαρίων μοναχὸς καὶ ἡγούμενος. † Γεώργιος ζωγράφος. † Μεθόδιος μοναχὸς καὶ ἡγούμενος. † Νίκανδρος μοναχὸς καὶ ἡγούμενος. † Ζαχαρίας μοναχὸς καὶ ἡγούμενος. † Θεόδουλος μοναχὸς καὶ Ἀβλελ. † Ἀθανάσιος μοναχὸς καὶ ἡγούμενος. † Μιχαὴλ μοναχὸς καὶ ἡγούμενος. † Γεώργιος μοναχὸς καὶ ἡγούμενος. † Μιχαὴλ μοναχὸς πρεσβύτερος καὶ ἡγούμενος. † Λουκᾶς μοναχὸς καὶ οἰκονόμος. † Νικόδημος μοναχὸς καὶ ἡγούμενος. † Ἰωάννης μοναχὸς καὶ ἡγούμενος. † Λουκᾶς μοναχὸς καὶ ἡγούμενος. † Ἰγνάτιος μοναχὸς καὶ ἡγούμενος. † Στέφανος μοναχὸς καὶ ἡγούμενος. † Παῦλος μοναχὸς καὶ πρεσβύτερος ξηροποταμίτης. † Ἀνδρέας μοναχὸς καὶ ἡγούμενος. † Ἀρσένιος μοναχὸς καὶ ἡγούμενος. † Γαβριὴλ μοναχὸς καὶ ἡγούμενος. † Δαμιανὸς μοναχὸς καὶ ἡγούμενος. † Βασίλειος μοναχὸς καὶ ἡγούμενος. † Νικηφόρος μοναχὸς καὶ ἡγούμενος. † Βασίλειος μοναχὸς καὶ ἡγούμενος. † Συμεὼν μοναχὸς καὶ ἡγούμενος. † Μάρκος μοναχὸς καὶ ἡγούμενος. † Κοσμᾶς μοναχὸς καὶ Ἐκκλησιάρχης. † Θεόφιλος μοναχὸς

καὶ ἡγούμενος. † Νικόλαος μοναχὸς ἡγούμενος καὶ καλλιγράφος. † Γεώργιος μοναχὸς καὶ ἡγούμενος. † Κοσμᾶς μοναχὸς καὶ ἡγούμενος. † Δημήτριος μοναχὸς καὶ ἡγούμενος. † Λάζαρος μοναχὸς καὶ ἡγούμενος. † Συμεὼν μοναχὸς καὶ ἡγούμενος. † Ἀντώνιος μοναχὸς καὶ ἡγούμενος. † Θεόδουλος μοναχὸς καὶ ἡγούμενος. † Νικηφόρος μοναχὸς καὶ πρεσβύτερος. † Σάββας μοναχὸς καὶ ἡγούμενος καὶ Κουβουκλείσιος.

Τυπικὸν ἐπὶ αὐτοκράτορος Κωνσταντίνου τοῦ Μονομάχου (ἔτ. 1046).

(Προοίμιον τῶν Πατέρων).

« Ἀνακτορικῆς τῷ ὄντι καὶ βασιλικωτάτης φρενὸς τὸ μὴ μόνον » πολιτικῶν πραγμάτων ἐπιμέλειαν ἀκριβῆ ποιεῖσθαι καὶ στρατοῦ » φροντίζειν καὶ ἔθνη τροποῦσθαι πολέμια καὶ ἐχθροὺς καταδουλοῦ- » σθαι καὶ πόλεις πολυανθρώπους ὑπὸ τὴν ἰδίαν ἄγειν χεῖρα, ἀλλὰ » καὶ τῶν θείων ἐξαιρέτως θεσμῶν καὶ Ἱερῶν κανόνων ἀντέχεσθαι » καὶ τῶν τῷ Θεῷ ἀνακειμένων καὶ κόσμον φυγόντων καὶ ἐν ὄρει δι- » αιτωμένων καὶ μόνον ἐχομένων Θεοῦ ἀρετῆς τε ἐπιμελουμένων καὶ » μηδὲν πλέον ταύτης εἰδότων πολλὴν ποιεῖσθαι τὴν πρόνοιαν, ὡς μὴ » μόνον ἐπηρειῶν καὶ ἄλλης πάσης κακώσεως ἀνωτέρους αὐτοὺς τη- » ρεῖν καὶ φιλοτιμίας ἀμείβεσθαι βασιλικῆς, ὡς ἀληθῶς, καὶ πλου- » σίας, ἀλλὰ καὶ τὰς τούτων παρατροπὰς τὰς ἐκ σατανικοῦ φθόνου, » ἅτε ἀνθρώποις ἐπισυμβαινούσας ἐπιδιορθοῦσθαι καὶ τὸν σάλον τού- » των ἱστᾷν καὶ τὰ διερρωγότα συνάπτειν καὶ πρὸς εἰρήνην καὶ ὁμό- » νοιαν ἄγειν τὸν ἐξαίρετον λαὸν καὶ περιούσιον κυρίου· οἷα δὴ καὶ » ἐπὶ τοῦ φιλοχρίστου καὶ εὐσεβεστάτου βασιλέως Κωνσταντίνου ἔξε- » στι κατιδεῖν.

» Οἱ γὰρ μοναχοὶ τοῦ περιωνύμου ὄρους Ἄθω τῶν ἄλλων μᾶλ- » λον σφοδρότερον κατὰ τοῦ κοινοῦ ἐχθροῦ καὶ πολεμίου ἄνωθεν τοῦ » ἀνθρωπίνου γένους τὴν παράταξιν ἀεὶ ποιούμενοι, οὐδ' αὐτὸν ἔσχον » ἀμελοῦντα ἢ κατολιγοροῦντα τοῦ ἀντιπολεμεῖν τούτοις καὶ ἀντι- » μάχεσθαι, καὶ γὰρ ῥαθυμήσασι καὶ ἀπονυστάξασιν ἐν τῷ καλῷ » τούτῳ σπόρῳ τῆς τε εἰρήνης καὶ ἀγάπης καὶ ὁμονοίας τὰ τῆς

» μάχης καὶ ἔριδος καὶ διχοστασίας λανθανόντως ἐπέσπειρε ζιζάνια·
» ἐπὶ πολὺ δὲ τοῦ τοιούτου προβάντος κακοῦ, τῇ βασιλικῇ προσῆλ-
» θον οὗτοι μεγαλειότητι, ἐξαιτούμενοι τῶν ἐπηρτημένων κακῶν καὶ
» τοῦ ἐξ αὐτῶν τικτομένου ψυχικοῦ κινδύνου δι' αὐτῆς λύσιν εὑρεῖν·
» τοῦτο δὲ γενέσθαι ἐδέοντο δι' ἀποστολῆς τινὸς τῶν πεῖραν ἐχόντων
» βίου μοναδικοῦ καὶ θείων θεσμῶν καὶ διορθώσεως καὶ θεραπείας τῶν
» ἐπισυμβαινόντων ἐκ τοῦ πονηροῦ σκανδάλων, ὁ δὲ ρηθεὶς φιλόχρι-
» στος Ἄναξ καὶ ἐδέξατο τούτους καὶ εὐμενῶς εἶδε καὶ οἰκειώσατο
» τῶν λεγομένων καὶ προσήκατο τὴν αὐτῶν αἴτησιν καὶ ἀποστεῖλαι
» οἷον αὐτοὶ ἐπεζήτουν ὑπέσχετο μοναχόν, ὡς ἂν διόρθωσιν δι' αὐτοῦ
» τὰ μὴ καλῶς γινόμενα δέξωνται καὶ κατάστασις τῷ ὄρει καὶ ὁμό-
» νοια ἀληθὴς τοῖς ἐν αὐτῷ ἀσκουμένοις μοναχοῖς ἐπιβραβευθῇ. Διά-
» τοι τοῦτο καὶ σεβαστὴν καὶ τιμίαν τῆς αὐτοῦ βασιλείας γραφὴν πρὸς
» τοὺς εὐτελεῖς ἡμᾶς ἐξαπέστειλεν, αὐταῖς λέξεσι διαλαμβάνουσαν τάδε.

Γραφὴ τοῦ βασιλέως Κωνσταντίνου τοῦ Μονομάχου πρὸς Κοσμᾶν μοναχόν.

» Οἱ μοναχοὶ τῶν μονῶν τοῦ ἁγίου ὄρους πρὸ καιροῦ τινος ἐλθόν-
» τες εἰς τὴν βασιλείαν μου ἐδεήθησαν, ὡς παρὰ τὴν δύναμιν τοῦ Τυ-
» πικοῦ αὐτῶν καὶ τῶν ἐναποκειμένων ἐν τῷ ὄρει χρυσοβούλλων κα-
» θέλκονται εἰς κοσμικὰ κριτήρια δικαστήρια καὶ τῇ δυνάμει τούτων
» προχειρίζονται καὶ ἡγούμενοι καὶ τ' ἄλλα πάντα γίνονται, ἡ δὲ
» τῶν τυπικῶν δύναμις καὶ αἱ τῶν χρυσοβούλων διατάξεις ἐν γράμ-
» μασι μόνοις κεῖνται, καὶ ἐπεὶ καὶ νῦν ἀνεφύησαν τινὰ ζητήματα
» μέσον αὐτῶν περὶ ἡγουμένων καὶ περί τινων ψυχικῶν αἰτημάτων,
» δεῖν ἔκρινεν ἡ βασιλεία μου τὴν τιμὴν τῶν ὑποθέσεων ἐμπιστεῦσαι
» ἀνδρὶ κατὰ Θεὸν βιοῦντι καὶ τῆς διορθώσεως τῶν ψυχικῶν παθῶν
» πεῖραν ἔχοντι, ἵνα μὴ τὸ ποίμνιον Χριστοῦ πρὸς ἄλληλα στασιάζον
» ἐπὶ πολὺ διαμένῃ.

» Κρεῖττον δὲ οὐδεὶς ἔσται ὁ μεταχειρισθησόμενος τὰ πράγματα, διὰ
» ταῦτα κελεύει σοι, ἵνα κόπον ἔμμισθον ὑπομείνῃς καὶ ἐπέλθῃς ἐκεῖ-
» σε καὶ ζητήσῃς τὸ τυπικὸν καὶ τὴν τῶν χρυσοβούλλων διάταξιν,
» ἔτι δὲ καὶ τὰ κινηθέντα πάντα παρ' αὐτῶν ἐρευνήσῃς καὶ τὴν θε-
» ραπείαν πρόσφορον εἰσενέγκῃς, ἐν μηδενὶ προϊσταμένης σοι τῆς τοῦ

« κριτοῦ πράξεως· δηλώσεις δὲ καταλεπτῶς τὰ παρὰ τῆς ὁσιότητός
» σου διακριθέντα, ἵνα καὶ ἡ βασιλεία μου διάγνωσιν ἔχουσα ἔκτοτε
» τοὺς ἴσως ἀντιλέγειν ἐθέλοντας ἀποκρούηται· οὐδὲν γὰρ ἡ βασιλεία
» μου νεώτερον καινίσθαι βούλεται ἐπὶ τῷ ἁγίῳ τούτῳ ὄρει, ἀλλὰ
» τοὺς παλαιοὺς θεσμοὺς καὶ τύπους φυλαχθῆναι βούλεται, καὶ κατὰ
» τὰς διατάξεις τῶν μακαριστῶν βασιλέων τὰ πάντα γίνεσθαι, καὶ τὰ
» περὶ ψυχικῶν δὲ ἅπαντα αἰτημάτων σὺν ἀκριβείᾳ λυθῆναι τῇ σῇ
» ἐπιστασίᾳ καὶ δοκιμασίᾳ, ἀλλὰ καὶ τὴν ἐκλογὴν τοῦ πρώτου κατὰ
» τὸν παλαιὸν τύπον γενέσθαι καὶ ἀποσταλῆναι εἰς τὴν βασιλείαν μου.

ΤΥΠΙΚΟΝ

ΚΕΦΑΛΑΙΟΝ Α΄.

Παραγενόμενος ἐγὼ Κοσμᾶς ὁ ἐλάχιστος μοναχὸς ὁ Τζιντζιλούκης ἐν τῷ ἁγίῳ τούτῳ ὄρει, ἅτε θεοφιλοῦς τῆς ἐπιταγῆς οὔσης καὶ εὐλόγου καὶ δικαίας τῆς βασιλικῆς, θείας, συνεκαλεσάμην ἅπαντας τοὺς ἐν τῷ ὄρει ὑπάρχοντας εὐλαβεῖς μοναχοὺς καὶ καθηγουμένους τῶν ἑκατὸν ὀγδοήκοντα καὶ πλέον ὑπάρχοντας, τοῦ παραγενέσθαι πρὸς ἡμᾶς ἐν τῇ Καρυῶν Λαύρᾳ ὡς ἔθος· οἳ καὶ συνηθροίσθησαν ἅμα τῷ μηνυθῆναι αὐτοὺς ἅπαντες· καὶ πολλὰ μὲν τῷ Θεῷ ηὐχαρίστησαν, οὐκ ὀλίγα δὲ καὶ ὑπὲρ τοῦ κραταιοῦ ὑπερηύξαντο, ὅτι ὑπὲρ τὸ τούτοις καταθύμιον εἰς πέρας ἤγαγε καὶ ὃ λόγῳ ὑπέσχετο ἐπὶ τῶν ἔργων ἐκπεπλήρωκε· συγκροτηθέντες οὖν ἡμεῖς τοῖς ῥηθεῖσι καθηγουμένοις, καὶ ἐν τῷ πρώτῳ τοῦ ὄρους, καὶ τῶν μεταξὺ ἀμφοτέρων ἀκροασάμενοι, εὕρομεν μηδὲν ἄλλο τι ἢ ἐπήρειαν δαιμόνων ὑπάρχοντα τὰ παρ' αὐτῶν προτεινόμενα καὶ ἔριν ἀλόγιστον· ἐπεζητήσαμεν οὖν ἡμεῖς τὸ τοῦ ὄρους χρυσοβούλλιον τυπικόν, καὶ παρὰ τῶν μακαριστῶν βασιλέων χρυσοβούλλια ἠνέχθησαν ἅπαντα, καὶ εἰς ἐπήκοον πάντων ὑπανεγνώσθησαν· ἠρωτήθησαν δὲ καὶ τίνες οἱ τύποι οὓς διορθωθῆναι τῆς βασιλικῆς ἐδέοντο μεγαλειότητος; καὶ πρόγε πάντων, ἔφησαν, τὴν ἐν τοῖς τυπικοῖς αὐτῶν προαποκειμένην ἀσφάλειαν, ἤτοι τὸ μὴ εὐνούχους ἢ ἀγενείους δέχεσθαι ἢ ἀποκείρειν ἢ ἐν ἀγρῷ ἢ ἐν Μοναστηρίῳ κατέχειν τούτους, καταφρονηθῆναι παρά τινων καὶ δεῖσθαι πάντως τὸ τοιοῦτον κακὸν διορθώσεως.

Εὐθὺς οὖν εἰς ἐκδίκησιν εἰς αὐτὸ τοῦτο κινηθέντες καὶ διόρθωσιν τοῦ προσήκοντος, εὕρομεν ἅπαντας ἀπό τε μεγάλων καὶ μικρῶν εὐπειθήσαντας καὶ σὺν προθυμίᾳ πάσῃ ὑποσχομένους τοῦ ὄρους ἅπαντα τὰ τοιαῦτα πρόσωπα ἀπελάσαι· ἡ δὲ τούτων ἔξωσις κοινῇ γνώμῃ καὶ θελήσει τοῦ τε εὐλαβεστάτου μοναχοῦ ἡγουμένου τῆς Λαύρας καὶ Ἀθανασίου τοῦ εὐλαβεστάτου μοναχοῦ τῆς τῶν Ἰβήρων μονῆς καθηγουμένου καὶ ἡμῶν αὐτῶν κρίσει καὶ δοκιμασίᾳ ἐπιτέτραπται γενέσθαι παρά τε τῶν εὐλαβεστάτων μοναχῶν ἐπιτηρητῶν τοῦ ὄρους καὶ τῶν συναποσταλέντων τούτοις γερόντων.

ΚΕΦΑΛΑΙΟΝ Β΄.

Δεύτερον οὖν ἐπὶ τούτῳ ἐκίνουν κεφάλαιον, ὡς ὅτι πλοῖα τινὲς τῶν μεγάλων μοναχῶν καὶ ἡγουμένων κατασκευάσαντες, οἶνον καί τινα ἕτερα εἴδη ἐξωνούμενοι, εἴς τε τὴν βασιλεύουσαν καὶ ἑτέρας πόλεις ἀπέρχονται καὶ ἐμπορικῶς ταῦτα διαπιπράσκουσι· ζητήσαντες οὖν καὶ περὶ τούτου εἴγε τετύπωται τούτοις παρά τινος μετὰ τὴν τοῦ τυπικοῦ διάταξιν πλοῖα κεκτῆσθαι, εὕρομεν ἔγγραφον καὶ ἐνυπόγραφον τυπικὸν ὑπὸ τοῦ μακαρίτου βασιλέως Κυροῦ Βασιλείου, κοινῇ γνώμῃ τοῦ τηλικαῦτα πρώτου καὶ πάντων τῶν ἐν τῷ ὄρει μοναχῶν προκαθημένων γεγενημένον, οὐ μόνον οὐκ ἐπιτρέπον, ἀλλὰ καὶ κωλύον μᾶλλον τὸν τοιοῦτον καπηλικὸν πορισμὸν καὶ ἀπέλασιν τὴν ἐκ τοῦ ὄρους τελείαν τιθέμενον τὸ ἐπιτίμιον τοῖς τοιοῦτόν τι κατατολμῶσι διαπράξασθαι, κεκτῆσθαι δὲ συγχωροῦν πλοιάρια μικρὰ καὶ μέχρι Θεσσαλονίκης καὶ τῶν ταύτης ἔνδον πολιχνίων τὸν περιττεύοντα οἶνον τοῖς μοναχοῖς ἀπεμπολεῖν παρεγγυώμενον εἴγε μὴ πλοῖα ἔξωθεν παραγένωνται, μὴ μέν τοι ἐξ ἄλλων ὠνεῖσθαι καὶ εἰς ἄλλους πωλεῖν, ὅπερ φιλαργυρίας καὶ αἰσχροκερδείας ἐστὶν ἴδιον· ἠβουλήθην μὲν οὖν καὶ αὐτὸς ἀναγκᾶσαι τούτους τῷ αὐτῷ στοιχεῖν κανόνι, ἀλλ' ἔδοξε τὸ πρᾶγμα βαρὺ λίαν καὶ ἐπαχθές, διεβεβαιώσαντο γὰρ ὡς εἰμὴ πλοῖα κέκτηνται εἰς μετακομιδὴν τῶν τῆς Μονῆς χρειῶν καὶ διάπρασιν τῶν ὀπωρῶν καὶ τοῦ περισσεύοντός τισιν οἴνου, μηδὲ μίαν ἡμέραν ἐν τῷ ὄρει προσμεῖναι δύνανται, πολλῆς οὖν περὶ τούτου ζητήσεως γενομένης συνηρκέσθησαν ἅπαντες, ἵνα κέκτηται πλοιάρια μικρὰ εἰς χρείαν μόνην καὶ ὑπηρεσίαν ἐξαρκοῦντα αὐτοῖς, ἀπέρχεσθαι δὲ καὶ μέχρι Θεσσα-

λονίκης καὶ Αἴνου, καὶ τὰ περιττεύοντα τούτοις διδόντες οἱ μοναχοὶ ἀντιλαμβάνωνται τὰ δέοντα, μὴ ἐξεῖναι δέ τινι τούτων κατὰ τὰς σεβασμίας καὶ ἁγίας ἡμέρας τῆς ἁγίας καὶ μεγάλης Τεσσαρακοστῆς προόδους ποιεῖν καὶ ἔξω τοῦ ὄρους ἐξέρχεσθαι, ἀλλὰ περιμένειν τοῖς οἰκείοις μοναστηρίοις καὶ ἀπερισπάστως Θεῷ προσανέχειν καὶ ἑαυτοῖς· μήτε τὰ ἐκ τοῦ ὄρους, μήτε ἔξωθεν εἴδη τινὰ ἐξωνεῖσθαι, σῖτόν φημι ἢ κριθὴν ἢ οἶνον ἢ ἔλαιον ἢ ἕτερόν τι τὸ οἱονοῦν καὶ ἐμπορικῶς ἀλλαχόσε ὡς οἱ βιωτικοὶ πραγματεύεσθαι· εἰδὲ καὶ γέγονεν οἰκονομικῶς καὶ τετύπωται, ἀσφαλιζομένων δηλαδὴ τῶν τὰ τοιαῦτα μελλόντων κτήσασθαι πλοῖα πρός τε τὸν πρῶτον τοῦ ὄρους καὶ τὸ κοινόν, ὡς εἴγε τοῦ παρόντος τυπικοῦ καταφρονήσωσιν, ἵνα πιπράσκωνται τὰ τοιούτων πλοῖα παρά τε τοῦ πρώτου καὶ τοῦ κοινοῦ, καὶ τὸ τούτων τίμημα διδόσθαι τῷ τοῦ ὄρους οἰκονόμῳ, ὡς ἂν εἰς κοινὴν χρῆσιν ἐξοδιάζηται· μηκέτι δὲ συγχωρεῖσθαι τὸν τοῦτο διαπραξάμενον ἕτερον πλοῖον κτᾶσθαι ἢ τοῦ ὄρους ἐξέρχεσθαι, ἵνα καὶ οἱ λοιποί, ἀποστολικῶς φάναι, φόβον ἔξωσι· τὰ δὲ μεγάλα πλοῖα κέκριται παραπωλῆσαι τέλεον, ἐκτὸς τῶν φιλοτιμηθέντων ἔχειν, τὰ διὰ χρυσοβουλλίων σιγγιλίων τῶν μακαριστῶν βασιλέων ἡμῶν καὶ τῆς τοῦ Βατοπεδίου Μονῆς, οἷα καὶ ταύτης ἔκπαλαι τυπωθείσης πλοῖον κεκτῆσθαι δι' ἐγγράφου ἀρεσκείας καὶ θελήσεως τοῦ τηνικαῦτα πρώτου καὶ τῶν λοιπῶν τοῦ ὄρους καθηγουμένων.

ΚΕΦΑΛΑΙΟΝ Γ'.

Τρίτον δὲ προετείνοντο κεφάλαιον λέγοντες, ὅτι πάντων τῶν τυπικῶν καὶ τῶν βασιλικῶν διαταγῶν προσταττόντων ἐπίσης μηδόλως ἐξεῖναι τινὰ τῶν μοναχῶν κτήνη ἢ ζεύγη βοϊκὰ κεκτῆσθαι, μήτε μὴν ἀπὸ ξένης χάριν νομῆς εἰς τὸ ὄρος εἰσέρχεσθαι, εἰ μήτοι κατὰ θέλησιν τῶν Μοναχῶν τοῦτο γίνεσθαι· τανῦν δὲ πολλὰ τῶν Μοναστηρίων ἐκτήσαντο πρόβατα καὶ αἶγας, ἡ δὲ Λαύρα τοῦ κυροῦ Ἀθανασίου καὶ βόας· συνειδότες οὖν καὶ ἡμεῖς, ὡς εὐλόγως περὶ τούτου κινοῦσι καὶ καλῶς, πᾶσαν ἐθέμεθα σπουδὴν τοῦ ἀποκτήσασθαι ταῦτα, οἷς ἡ τούτων προσεγένετο κτῆσις· καὶ δή, οἱ μὲν ἄλλοι πάντες σὺν προθυμίᾳ τὴν τούτων ἀπόκτησιν κατεδέξαντο, ὁ δὲ εὐλαβέστατος μοναχὸς Νεόφυτος ὡς ἀδύνατόν ἐστι τούτων ἄνευ τὸ πολὺ πλῆθος τῶν ἐν τῇ Λαύ-

ρᾳ μοναχῶν καὶ ἀδυνάτων γερόντων τραφῆναι, παρεβάλετο εἰς εὔλογον δῆθεν μὴ παρ' αὐτοῦ τὴν τούτων γενέσθαι εἰς τὸ ὄρος εἰσαγωγήν, ἀλλὰ πρὸ πεντήκοντα χρόνων ἀπὸ τῶν πρὸ αὐτοῦ ἡγουμενευσάντων, καταδέξασθαι δὲ τὸ γεγονὸς καὶ τοὺς τοῦ ὄρους καθηγουμένους· ἡμῶν δὲ καὶ αὖθις ἰσχυρῶς ἐνισταμένων, τὴν τῶν προβάτων ἐξέωσιν κατεδέξαντο, ἀγελέας δὲ βοῶν κεκτῆσθαι ἐν τόπῳ ἰδιάζοντι καὶ ἀπῳκισμένῳ εἰς παρηγορίαν τῶν ἀσθενῶν καὶ ταλαιπώρων γερόντων ᾐτεῖτο· κατένευσαν εἰς τοῦτο καὶ οἱ τοῦ ὄρους καθηγούμενοι ἅπαντες, καὶ ὁ αὐτῶν πρῶτος ὁ προρρηθεὶς εὐλαβέστατος μοναχὸς Θεοφύλακτος· ἐφάνησαν καὶ ἡμᾶς δυσωποῦντες περὶ τούτου, καὶ δὴ ἰδόντες καὶ ἡμεῖς αὐτοί, ὡς ἀδύνατον ἐστὶν ὀκτακοσίους μοναχοὺς ἐκ μόνου ἰχθύος τρέφεσθαι, ᾠκονομήσαμεν τῇ γνώμῃ τοῦ καθηγουμένου ἥξαντες καὶ τῇ τῶν γερόντων καὶ καθηγουμένων τοῦ ὄρους συγκατανεῦσαι ἀρεσκείᾳ, καὶ τετύπωται μήκοθεν πάντων τῶν Μοναστηρίων ὑπάρχειν τὰς ρηθείσας βοῦς ὡς ἀπὸ μιλίων εἴκοσι, καὶ παρὰ μοναχῶν αὐτὰς νέμεσθαι, καὶ μὴ τὸ σύνολον τοῖς μοναστηρίοις πλησιάζειν.

ΚΕΦΑΛΑΙΟΝ Δ'.

Ἐπειδὴ καὶ ζεῦγος ἐτυπώθη ἄνωθεν κεκτῆσθαι τὴν Λαύραν τοῦ Κυροῦ Ἀθανασίου εἰς ὑπηρεσίαν τῆς ζύμης τοῦ ἄρτου τῶν ἀδελφῶν, τᾳνῦν δὲ εἰς ὀκτακοσίους ἀπὸ ἑκατὸν ηὐξήνθησαν, ἤρεσεν ἅπασι τοῖς ἐν τῷ ὄρει Μοναχοῖς καὶ ἕτερα ζεύγη τρία προστεθῆναι τῷ ἑνί· καὶ τῇ πάντων ἀρεσκείᾳ καὶ αὐτοὶ συναινέσαντες τυποῦμεν, κεκτῆσθαι τὰ τοιαῦτα ζεύγη εἰς ὑπηρεσίαν τῆς τῶν ἀδελφῶν ζύμης, ὡς εἴρηται· μὴ μέν τοι τὸ σύνολον μετὰ τῶν τοιούτων ἀροτριᾷν ἢ σπόρον τῇ γῇ καταβάλλεσθαι· ᾠκονομήσαμεν δὲ καὶ τὴν τοῦ Βατοπεδίου Μονὴν διὰ τὸ πολυάνθρωπον καὶ αὐτὴν ὑπάρχειν, ἓν ζεῦγος εἶναι εἰς ὑπηρεσίαν τῆς ζύμης τοῦ ἄρτου τῶν ἀδελφῶν, ὡς ἀρεσθέντων ἐν τούτῳ τοῦ τε πρώτου καὶ τῶν λοιπῶν ἀπάντων γερόντων.

ΚΕΦΑΛΑΙΟΝ Ε'.

Ἀλλὰ καὶ περὶ πλοίων ᾠκονόμηται παρὰ πάντων, ἵνα κέκτηται ἡ Μονὴ τῶν Ἀμαλφηνῶν διὰ τὸ μηδόλως δύνασθαι ταύτην ἄλλως συνί-

στασθαι, μὴ μέν τοι δὲ εἰς ἐμπορίαν τοῦτο κεχρῆσθαι, ἀλλ' εἰσέρχεσθαι δι' αὐτοῦ εἰς τὴν βασιλεύουσαν, καὶ εἰσάγειν εἴτι ἐκ τῆς κατ' αὐτοὺς Μονῆς βούλονται καὶ παρὰ τῶν φιλοχρίστων διακονεῖσθαι.

ΚΕΦΑΛΑΙΟΝ ς′.

Ἐπειδὴ καί τινες τῶν παρ' ἡμῖν περὶ τούτου ἐνήγαγον, ὡς ὅτι ξύλον ἐργάσιμον καὶ σανίδας καὶ δᾷδας καὶ πίσσαν ἐξάγουσι τινὲς τῶν Μοναχῶν ἐκ τοῦ ὄρους διὰ πλοίων καὶ ἀποπέμπουσι ταῦτα τοῖς κατὰ κόσμον, κεκώλυται δὲ τοῦτο καὶ παρὰ τοῦ παλαιοῦ τυπικοῦ, ἐπισκώπτομεν μὴ δεῖν τινὰ τοῦ λοιποῦ τὸ τοιοῦτον διαπράττειν, ἀλλὰ τοῖς ἔνδον τοῦ ὄρους ταῦτα ἀπεμπολεῖν εἰς ἰδίαν τῶν μοναστηρίων αὐτῶν χρείαν· εἰδέ τις φωραθείη τοῦτο διαπραξάμενος, ζημιωθήσεται καὶ αὐτὴν τὴν ναῦν, ὃν τρόπον εἰρήκαμεν ἄνωθεν.

ΚΕΦΑΛΑΙΟΝ Ζ′.

Περὶ δὲ τοῦ Μοναχὸν ἀπὸ Μοναστήριον ἐξέρχεσθαι καὶ ὑφ' ἑτέρου δέχεσθαι δεξιώτερον ὁ οὐρανοφάντωρ Βασίλειος διετάξατο· ἐκώλυσε δὲ τοῦτο μὴ γίνεσθαι κατὰ τὸ τοῦ ὄρους τυπικόν, μὴ ἐξεῖναι δηλαδὴ διαλαμβάνον ἄνευ εἰδήσεως καὶ θελήσεως τῶν ἡγουμένων δέχεσθαι ἀδελφὸν ἀπὸ μοναστήριον ἐξελθόντα ὑφ' ἑτέρας ἀδελφότητος, εἰ μὴ τοῦτον ὁ τῆς αὐτοῦ μονῆς προεστὼς παραδῷ ταύτῃ θελήσει οἰκείᾳ καὶ συναινέσει τῆς ὑπ' αὐτῷ ἀδελφότητος.

ΚΕΦΑΛΑΙΟΝ Η′.

Ἦλθε δὲ εἰς τὰς ἡμετέρας ἀκοὰς καὶ τοῦτο, μᾶλλον δὲ ἐπὶ τῶν πραγμάτων αὐτῶν εὕρομεν, ὡς κατατολμῶσι τινὲς τὰς διατάξεις τῶν ἀποιχομένων ἡγουμένων ἀνατρέπειν καὶ ἀκυροῦν· καὶ ἐν οἷς ἐκεῖνοι διορίζονται ἐπιδιατάττεσθαι, καὶ εἰσάγειν ἡγουμένους, καὶ ἐξάγειν, καὶ τἄλλα πάντα ἀπερισκέπτως ποιεῖν· τυποῦμεν καὶ περὶ τούτου, τῷ παλαιῷ τυπικῷ συνῳδὰ ποιοῦντες, ἵνα βέβαιοι συντηρῶνται καὶ ἀμετακίνητοι τῶν μεθισταμένων αἱ διατάξεις, καὶ κατὰ τὴν περίληψιν τῶν ἐκείνων γινομένων διαθηκῶν πάντα γίνεσθαι καὶ συνεργεῖσθαι, εἰδέ

τινες πειραθεῖεν παρὰ ταῦτά τι διαπράξασθαι, τὸ μὲν πραχθὲν παρ' αὐτῶν μενέτω ἀργὸν καὶ ἀνόνητον, οὗτοι δὲ τοῖς τῶν κανόνων ἐπιτιμίοις ὑποκείσθωσαν.

ΚΕΦΑΛΑΙΟΝ Θ'.

Ἔγνωσται δὲ τῇ ταπεινώσει ἡμῶν, ὡς καὶ δωρεάς τινὲς ἀγρῶν καὶ μοναστηρίων καὶ πράσεις αὐτῶν καὶ ἀνταλλαγὰς ποιοῦντες καὶ ἐν ταύταις τὸν Τίμιον Σταυρὸν ἰδιοχείρως διαχαράττοντες καὶ πολλοὺς ἄλλους προσκαλούμενοι μάρτυρας τῶν γεγονότων, καὶ τούτων ὁμοίως ἐκείνοις συγκαταπηγνύντων τὰ ἴδια σίγνα ἰδιοχείρως, εἰς μετάμελον μετὰ ταῦτα χωροῦσι καὶ τῶν γινομένων ἀνατροπήν, θρασέως, φεῦ, καὶ τολμηρῶς τοῦ τοιούτου καταφρονοῦσι πράγματος, κἀντεῦθεν πρῶτον μὲν τὴν τοῖς χριστιανοῖς ἁρμόζουσαν ἀθετοῦντες πίστιν, ἔπειτα δὲ καὶ τὴν ἰδίαν καταπατοῦντες συνείδησιν· διά τοι τοῦτο, ἀρεσκείᾳ τοῦ εὐλαβεστάτου πρώτου καὶ τῶν λοιπῶν πάντων καθηγουμένων, τετύπωται παρ' ἡμῶν ἵνα τοῦ λοιποῦ ὁ τοῦ τοιούτου καταφρονῶν πράγματος καὶ αὐτῆς ἐκπίπτειν τῆς ἡγουμενείας καὶ ἕτερος ἀντ' αὐτοῦ ἐκ τῆς αὐτῆς Μονῆς προχειρίζεσθαι καὶ τὰ παρ' αὐτοῦ γεγονότα ἐπὶ τῆς προτέρας μένειν ἀσφαλείας.

ΚΕΦΑΛΑΙΟΝ Ι'.

Περὶ δὲ κοπῆς ξύλων ἐγκαλοῦσί τινες μοναχοί, ὅτι οἱ ὑπερέχοντες τῶν ἄλλων καὶ ὑπερισχύοντες κωλύουσιν αὐτοὺς τοῦ κόπτειν· ὅθεν περὶ ξύλων καύσεως μαγειρείου καὶ φούρνου ἀρτοποιίας τε τετύπωται καὶ περὶ τούτου ἵνα λαμβάνωσιν ὅθεν βούλονται, τὰ δὲ εἰς οἰκοδομάς, ἐν μὲν τῷ κοινῷ τόπῳ τούτους κόπτειν ἔξεστιν ἀκωλύτως, ἐν δὲ τοῖς ὁρίοις ἑνὸς ἑκάστου τῶν Μονῶν δι' εἰδήσεως καὶ ἀδείας τοῦτε ἡγουμένου καὶ μοναχῶν τῆς μονῆς κόπτειν, ὅσα μόνον τούτοις ἐπιτέτραπται, ἐν δὲ τοῖς ἐλευθέροις τόποις, κόπτειν ἀκωλύτως.

ΚΕΦΑΛΑΙΟΝ ΙΑ'.

Πολλοὶ μὲν τῶν μοναχῶν ἐνεκάλουν, ὡς ἦν μέν ποτε πολὺς ὁ τοῦ

κοινοῦ τόπος, καὶ διαρκῶν εἰς τὴν χρείαν αὐτῶν, διὰ δὲ τοὺς κατὰ καιροὺς πρώτους καὶ μερικὰς φιλίας ἢ καὶ ἄλλυτα μετά τινων μοναχῶν καὶ καθηγουμένων ὀλιγοστῶν ἢ καὶ πλειόνων δωρεῖσθαι τοῦτον ἐν οἷς ἂν ἐβούλοντο, καὶ ὀλιγωθῆναι μὲν τὸν ἐπίκοινον τόπον, στενοχωρεῖσθαι δ' ἐντεῦθεν τὰ μοναστήρια καὶ κελλία. Καὶ δὴ τῇ πάντων κρίσει καὶ ἀρεσκείᾳ τετύπωται μὴ ἐξεῖναι τοῦ λοιποῦ μηδενὶ τῶν μελλόντων ἐν τῇ τοιαύτῃ ἀνιέναι ἀρχῇ ἐκ τῶν κοινῶν τοπίων δωρεῖσθαί τινι ἢ ἀπεμπολεῖν.

ΚΕΦΑΛΑΙΟΝ ΙΒ'.

Τὴν δὲ Λαύραν τῶν Καρεῶν, φασίν, ἀντὶ Λαύρας ἐμπόριον γενέσθαι, ὥστε καὶ αὐτὰ τὰ ἀπηγορευμένα μοναχοῖς πιπράσκεσθαι ἐν αὐτῇ· διὸ καὶ ἐκρίναμεν καὶ ἐτυπώσαμεν τῇ ἀρεσκείᾳ πάντων μένειν ταύτην κατὰ τὸν παλαιὸν τύπον, καὶ ἐν οἷς ἂν εὑρίσκωνται τὰ ἀπηγορευμένα ταῦτα (αἰδοῦμαι γὰρ λέγειν κατ' ὄνομα αὐτὰ) ἐκδιώκειν τούτους τέλεον ἐκ τῆς τοιαύτης Λαύρας Καρεῶν.

ΚΕΦΑΛΑΙΟΝ ΙΓ'.

Ἐπειδὴ πολὺς ὁ θρύλλος ἦν, διὰ τὸ λέγειν σχεδὸν ἅπαντας ὅτι μετὰ πολλῶν ὑπουργῶν οἱ τῶν μεγίστων μονῶν Λαύρας ἡγούμενοι ἐν ταῖς συνάξεσι παραγενόμενοι πολλῶν κακῶν αἴτιοι τῷ ἀθροίσματι τῶν γερόντων καὶ καθηγουμένων καὶ τῇ τούτων συναγωγῇ γίνονται, ὡς ἐντεῦθεν ἔσωθεν μὲν φόβους, ἔξωθεν δὲ μάχας ἀποτίκτεσθαι, ἀλλὰ καὶ αὐτοῖς τοῖς κρίνουσι καὶ δικάζουσι τοῦ κοινοῦ κινούμενοι τὰ πρὸς διόρθωσιν ἐμπόδιον οὐ μικρὸν τὸ τοιοῦτον καθίσταται, διὰ τὸ ἕκαστον τῶν ὑπουργῶν ὃ ἐὰν θέλῃ θρασέως καὶ αὐθαδῶς λέγειν καὶ πρὸς τοὺς κρίνοντας διαμάχεσθαι· προσεῖπον δὲ ὡς ἐπὶ τὸ πλεῖστον τῷ τῆς Λαύρας καθηγουμένῳ τὸ πᾶν, ὁ δὲ τοιοῦτος εὐλαβέστατος μοναχὸς Νεόφυτος καὶ καθηγούμενος τῆς τοιαύτης τοῦ κυροῦ Ἀθανασίου Λαύρας, καὶ εἰς τὰ ἄλλα μὲν πάντα καταπεισθεὶς διὰ φιλάγαθον πρόθεσιν, τῇ ἡμετέρᾳ ταπεινότητι ὀφθείς, καὶ ἐν τούτῳ δὲ τῶν ἄλλων πάντων φανεὶς καταπειθέστερος, ἀρκεῖσθαι ἔλεγεν εἰς τὴν τοῦ παλαιοῦ τυπικοῦ διάταξιν, αὐτὸν μὲν μετὰ δύο ὑπουργῶν παραγίνεσθαι, μετὰ

τριῶν δὲ τὸν πρῶτον, τοὺς δὲ λοιποὺς ἄνευ ὑπουργῶν ἅπαντας, οὕτω γὰρ τὸ χρυσοβούλλιον τυπικὸν διὰ τὸ ὀλιγᾶν τότε τὸ ὄρος εἶναι διακελεύεται· οἱ δὲ τῶν λοιπῶν μοναστηρίων καθηγούμενοι τοῦτο ἀκούσαντες ἐδυσχέραινον, καὶ ἀδύνατον εἶναι ἐνίσταντο ἄνευ ὑπουργῶν τῶν τὸ γῆρας τούτων καὶ τῇ ἀσθενείᾳ ὑπηρετεῖν ὀφειλόντων ἐν ταῖς συνάξεσι παραγίνεσθαι· διά τοι τοῦτο συναθροισθέντες πάντες ᾐτήσαντο τυπωθῆναι, τὸν μὲν κατὰ καιρὸν πρῶτον μετὰ τριῶν ὑπουργῶν παραγίνεσθαι, τὸν δὲ τῆς εὐαγεστάτης Λαύρας τοῦ Κυροῦ Ἀθανασίου μετὰ ἕξ, τὸν δὲ τοῦ Βατοπεδίου μετὰ τεσσάρων, ὡσαύτως καὶ τὸν ἡγούμενον τῆς τῶν Ἰβήρων Μονῆς, τοὺς δὲ λοιποὺς ἅπαντας μετὰ ἑνός· εἶναι δὲ τοὺς τοιούτους ὑπουργοὺς ἅπαντας ἐν τοῖς τῶν Μοναστηρίων Κελλίοις, καὶ μὴ τῇ συνάξει παραγίνεσθαι ἢ παραβάλλειν ὅλως, μηδὲ συναναμίγνυσθαι τοῖς κρίνουσι γέρουσι καὶ εἰς ὄχλησιν τούτους καὶ περικοπὴν γίνεσθαι, εἰ δὲ θέλει ἕνα ἢ δύο ὁ τῆς Λαύρας τοῦ Κυροῦ Ἀθανασίου καθηγούμενος παρίστασθαι αὐτῷ, ὡσαύτως καὶ ὁ πρῶτος καὶ ὁ τοῦ Βατοπεδίου καὶ τῶν Ἰβήρων ἀνὰ ἕνα παρίστασθαι, παριστάσθωσαν μέν, μὴ μέν τοι τὸ σύνολον λαλείτωσαν· ὁ δὲ βουλόμενος λαλεῖν καὶ μὴ θέλων σιωπᾶν, ἐκβαλλέσθω καὶ ἄκων τοῦ τῶν πατέρων συλλόγου.

ΚΕΦΑΛΑΙΟΝ ΙΔ΄.

Ἐπὶ τούτοις οὖν πᾶσι καὶ τοῦτο τετύπωται τῇ ἀρεσκείᾳ τῶν πάντων, ἵνα αἱ ἀξιολόγοι ὑποθέσεις ἅπασαι ἐν ταῖς καθολικαῖς κρίνωνται συνάξεσιν, αὐτοῦ τε τοῦ πρώτου προκαθημένοι καὶ συγκαθεζομένων τούτῳ τοῦτε εὐλαβεστάτου καθηγουμένου τῆς Λαύρας τοῦ κυροῦ Ἀθανασίου καὶ τῶν λοιπῶν προκρίτων ἡγουμένων, εἴγε δηλονότι τῷ ὄρει περίεισι καὶ τῇ συνάξει, καὶ πάντων τῶν εὐλαβεστάτων γερόντων συμπαρόντων καὶ συγκρινόντων μετὰ φόβου Θεοῦ καὶ ἀληθείας προσωποληψίας ἀπάσης ἐκτὸς ἢ δωροληψίας καὶ μερικῆς φιλίας καὶ προσπαθείας καὶ ἄλλου πάθους παντός, ἤγουν φθόνου, ἔριδος, μνησικακίας, καὶ πάντα δὲ δοκιμαζέσθω τὰ προκείμενα καὶ ἐκβιαζέσθω τὰ κινούμενα· οἱ δέ τινας μικρὰς καὶ εὐτελεῖς ὑποθέσεις ἔχοντες τῷ πρώτῳ προσελθέτωσαν ἵνα συμπεριλαμβάνῃ ὁ τοιοῦτος πρῶτος πέντε ἢ δέκα ἡγουμένους καὶ μετὰ τούτων ἀπέρχεσθαι καὶ τὴν τῶν

ἐσφαλμένων ποιεῖσθαι διόρθωσιν· μὴ ἐξέστω δὲ τῷ πρώτῳ τοὺς αὐτοὺς συμπεριλαμβάνειν, ἀλλ' ἐν ταύτῃ μὲν τῇ ὑποθέσει τούτους, ἐν ἑτέρᾳ δὲ ἄλλους, ἵνα μὴ ὑπόνοιαι καὶ σκάνδαλα ἐν τῷ Κοινῷ ἐκφύωνται.

ΚΕΦΑΛΑΙΟΝ ΙΕ'.

Ὃ δὲ ἔδει τῶν ἄλλων τύπων προτεθῆναι ὡς πάντων ἀναγκαιότερον, τοῦτο ἔσχατον οἱ τιμιώτατοι γέροντες ἅπαντες ἐπὶ τῆς συνάξεως ἐξεφώνησαν, ὅτι περ τινὲς τῶν Μοναχῶν καὶ ἡγουμένων, εἴτε ἁπλότητι, εἴτε κουφότητι, εἴτε κανόνων ἀπειρίᾳ, ἀγόμενοι, παῖδας οὔπω τοῦ εἰκοστοῦ χρόνου ἐπιβάντας, οὐ μόνον διακόνους, ἀλλὰ καὶ πρεσβυτέρους χειροτονεῖν· ἄλλοι δὲ καὶ ἡγουμένους τῆς αὐτῆς ἡλικίας ὄντας, διά τινα ἀγχιστείαν ἢ καὶ ἄκαιρον προσπάθειαν, ὡς μὴ θέμις, καταλιμπάνουσιν ἐν διαθήκαις. Ταύτην οὖν τὴν ἄθεσμον καὶ παράλογον πρᾶξιν (ἵνα μὴ εἴπω λύμην καὶ φθορὰν καὶ τῶν θείων καὶ ἱερῶν κανόνων ἀνατροπὴν) ἐκ ριζῶν ἀνασπῶντες, ὁρίζομεν καὶ τυποῦμεν εἴκοσι καὶ πέντε μὲν χρόνων χειροτονεῖσθαι διάκονον κατὰ τοὺς θείους θεσμούς, τριάκοντα δὲ πρεσβύτερον, τοῦ αὐτοῦ δὲ χρόνου ἡγούμενον ἐν διαθήκαις καταλιμπάνειν.

ΕΠΙΛΟΓΟΣ

Οὗτοι μὲν οἱ θεσμοὶ καὶ τύποι ψυχωφελεῖς οὐκ ἐξουσιαστικῶς, οὔτε μὴν αὐθεντικῶς, οὔτε ἀβουλεύτως ἢ ἀπερισκέπτως, ἀλλὰ θελήσει καὶ ἀρεσκείᾳ ἁπάντων τῶν τοῦ ὄρους εὐλαβεστάτων Μοναχῶν καὶ ἡγουμένων ἐτυπώθησαν καὶ ἐπράχθησαν παρ' ἐμοῦ Κοσμᾶ εὐτελοῦς μοναχοῦ τοῦ τζιντζιλούκη, κατὰ θείαν καὶ βασιλικὴν προσταγήν, καὶ ὑπεγράφησαν παρὰ τῶν ἀξιολογωτέρων γερόντων τοῦ ὄρους Ἄθω, καὶ τοῖς μοναχοῖς ἐπεδόθησαν ἀντιλήψει τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν βασιλέως· οὕς τινας τύπους καὶ θεσμούς, ὡς ἐξ ἀποστολῆς βασιλικῆς παρ' ἡμῶν ἐκτεθέντας, ἀπαραθραύστως τηρεῖν ὀφείλουσιν ἅπαντες οἱ ἐν τῷ ἁγίῳ τούτῳ ὄρει μοναχοί, ὁ δὲ παραβαίνων τούτους καὶ τῇ τῶν θείων κανόνων δίκῃ ὑποπεσεῖται καὶ τῆς Ἀνακτορικῆς ἀγανακτήσεως πειραθήσεται, ὀφείλουσι δὲ τὸ παρὸν τυπικὸν καὶ τῷ κραταιῷ Ἄνακτι καὶ ἁγίῳ ἡμῶν βασιλεῖ ἐπιφανῆσαι, ἵνα διὰ τῆς αὐτοῦ φιλοχρί-

στου καὶ εὐσεβοῦς βασιλείας ἡ κυριότης τούτῳ καὶ βεβαίωσις ἐπιβραβευθῇ, καθὰ δὴ καὶ ἐν τῷ ἐκτεθέντι παρὰ Εὐθυμίου τοῦ εὐλαβεστάτου μοναχοῦ καὶ καθηγουμένου τῆς τῶν Στουδίων μονῆς τοῦ ἐξ ἐπιταγῆς βασιλικῆς εἰς κατάστασιν τοῦ ὄρους ἀποσταλέντος τυπικῷ γέγονεν.

Οὕς τινας τύπους καὶ ἡμεῖς βεβαιοῦμεν καὶ ἐπικυροῦμεν καὶ ἀπαρασαλεύτους εἰς αἰῶνας συντηρεῖσθαι βουλόμεθα.

Μηνὶ Σεπτεμβρίῳ Ἰνδικτιῶνος δ΄. ϛφνδ΄.

† Θεοφύλακτος μοναχὸς καὶ πρῶτος. † Νεόφυτος μοναχὸς ἡγούμενος τῆς Λαύρας. † Ἀθανάσιος μοναχὸς ἡγούμενος βατοπεδίου. † Γεώργιος μοναχὸς ἡγούμενος Ἰβήρων. † Ἰωάννης μοναχὸς καὶ πρεσβύτερος τοῦ Ζυγοῦ. † Κύριλλος μοναχὸς καὶ ἡγούμενος μονῆς ἐσφιγμένου. † Ἱλαρίων μοναχὸς ἡγούμενος Μονῆς τοῦ ἁγίου Νικηφόρου. † Ἰωάννης μοναχὸς ἡγούμενος μονῆς τοῦ Κάσπακος. † Ἡλίας μοναχὸς ἡγούμενος Μονῆς Ξηροποτάμου. † Πέτρος εὐτελὴς μοναχὸς καὶ ἡγούμενος Μονῆς τοῦ Κυροῦ Ἀθανασίου. † Θεόδουλος μοναχὸς ἡγούμενος Δοχειαρίου. † Λουκᾶς μοναχὸς ἡγούμενος Μονῆς τῆς Θεοτόκου. † Ἀθανάσιος μοναχὸς ἡγούμενος τοῦ κὺρ Σισώη. † Συμεὼν μοναχὸς καὶ ἡγούμενος μονῆς Καλλιάρας. † Ἱερεμίας μοναχὸς καὶ πρεσβύτερος. . . . † Μάρκος μοναχὸς καὶ ἡγούμενος. . . . † Ἰωάννης μοναχὸς καὶ ἡγούμενος Μονῆς τοῦ Φακινοῦ. † Βαρθολομαῖος μοναχὸς καὶ ἡγούμενος Μονῆς τοῦ Σωτῆρος. † Ἀντώνιος μοναχὸς καὶ ἡγούμενος Μονῆς τοῦ ἁγίου Εὐστρατίου. † Ἰάκωβος μοναχὸς Μονῆς τῆς ὑπεραγίας Θεοτόκου. † Νικηφόρος μοναχὸς καὶ ἡγούμενος τοῦ Βερροιώτου. † Λέοντος μοναχὸς καὶ ἡγούμενος τοῦ Φαλακροῦ. † Θεόδωρος μοναχὸς ἡγούμενος τοῦ Καλέστρου. † Μιχαὴλ μοναχὸς ἡγούμενος τοῦ Ἀρχιστρατήγου. † Κοσμᾶς μοναχὸς ἡγούμενος τοῦ φιλαδέλφου. † Γεράσιμος μοναχὸς ἡγούμενος τῶν ἁγίων Ἀναργύρων. † Βαρθολομαῖος μοναχὸς ἡγούμενος τοῦ ἁγίου Νικολάου. † Νικηφόρος μοναχὸς ἡγούμενος πρεσβύτερος τοῦ ἁγίου. . . . . † Ἀρσένιος μοναχὸς ἡγούμενος τοῦ ἁγίου Πέτρου.

(Ἐπικυροῦνται διὰ τοῦ ἑπομένου παρὰ πόδας χρυσοβουλλίου τοῦ βασιλέως, δι' ἀσφάλειαν τῶν γεγονυιῶν πράξεων).

Χρυσόβουλλον τοῦ ἀοιδίμου βασιλέως Κωνσταντίνου τοῦ Μονομάχου οὗ ἡ ἀρχὴ διεφθαρμένη.

Ὁ . . . . εἰς τὸ αὐτὸ στασιάζοντες καὶ τὴν φίλην εἰρήνην[1] . . . . . κατέχοντος καὶ τοὺς κατὰ τὸ ὄρος θεσμοὺς καὶ κανόνας ἠθετηκότος καὶ διὰ πάσης ἐντολῆς ἐπιλελησμένου καὶ κοσμικοῖς ἀνδρᾶσι διαιτεῖν τὰ κατ' αὐτοὺς ἐπιτρέποντος· καὶ ἄς. . . . . τὴν τάξιν· ὡς γὰρ ἡ σὰρξ ὑποτέτακται τῷ πνεύματι, καὶ ὥς τινι βασιλεῖ καθυπήκειν τέτακται, οὕτω δὴ μᾶλλον τοὺς καταπεφρονηκότας κόσμου καὶ τῶν ἐν κόσμῳ καὶ τῷ Θεῷ μόνῳ ζῆν ἑλομένους προτετάχθαι δεῖ τῶν ἄλλων καὶ δικαστὰς αὐτοῖς καθίστασθαι περὶ ψυχικῶν αἰτιαμάτων· καὶ πολλῆς ἐντεῦθεν ἀνὰ τὸ ὄρος ἀνατροπῆς τῶν πραγμάτων γεγενημένης, περιαλγήσαντες, ὡς εἰκός, ἐπὶ τούτοις, εἰ καὶ χρώᾳ καὶ πόνοις ἀσκητικοῖς τῶν ἄλλων διαφέροντες, καὶ περιπαθῶς ἐσχηκότες ἐφ' οἷς ἑώρων, πάντας μὲν θεσμοὺς ἀθετουμένους, ἐκθέσμους δέ τινας πράξεις καὶ ἀσυνήθεις τολμωμένας, καὶ τὴν μὲν τάξιν καὶ εὐταξίαν ἀπεληλαμένην, τὴν δ' ἀταξίαν εἰσαγομένην, οὐκ ἠρέμησαν, οὐδὲ ἡσύχασαν, ὥσπερ ἀγαπῶντες ἐπὶ τοῖς πεπραγμένοις, ἀλλὰ τῷ περὶ καλὰ ζήλῳ διαθερμαινόμενοι, στέλλουσί τινας εἰς τὸ ἡμέτερον κράτος δεηθησομένους περὶ τῆς ἀγούσης φορᾶς τὰ τοῦ ὄρους πάντα καὶ συγχεούσης· καὶ οἱ συμπεμφθέντες διαγγέλλουσι μὲν ὅσα δὴ καὶ συμβέβηκεν ἐπὶ τὸ χεῖρον ὁσημέραι αὔξοντά τε καὶ προχωροῦντα, καὶ ἡμῶν μὴ παρόψεσθαι καθικετεύοντες οὕτω κακῶς πάσχοντας, μηδὲ τὸ πολυάνδριον ἐκεῖνο ὄρος καὶ τὸ ἅγιον ποίμνιον ἐκ μικροῦ καὶ ἐλαχίστου εἰς ὃ νῦν ὁρᾶται προελθόν τε καὶ νεύσει Θεοῦ πλατυνθέν, ἐᾶσαι πάλιν τοῖς τοῦ πονηροῦ σπέρμασι καὶ ταῖς ἐπινοίαις ἐλαττωθῆναι τε καὶ ἐπὶ ὄρη καὶ βουνοὺς διασπαρῆναι καὶ θρήνων πάσχειν ἄξια· οὐκοῦν οὐδὲ παρίδομεν αὐτούς, ἀλλ' ἐφ' οἷς διηγήσαντο δηχθέντες τὴν καρδίαν καὶ τὸ ὅλον τοῦ πονηροῦ δρᾶμα ὑπειληφότες εἶναι, ἔγκοτα ἀεὶ ἔχοντος πρὸς τὸ τῶν ἀνθρώπων γένος καὶ ταῖς ἀγαθαῖς βασκαίνοντος πράξεσι καὶ

[1] Παρὰ Σωφρονίῳ Καλλιγᾷ φέρεται «εἰς τὴν φίλην εἰρήνην *ἀπὸ σερμίου* κατέχοντας». Τὸ «ἀπὸ σερμίου» εἶνε ἀκατάληπτον κακῶς ἀναγνωσθέν, διὸ παρέλιπον αὐτό.

διαφθονουμένου, ταχυνήν τε ἅμα καὶ ποθεινὴν τὴν ἴασιν αὐτοῖς ὑπηνέγκαμεν καὶ τὴν θεραπείαν τοῦ νοσοῦντος ἐτεχνευσάμεθα· ἐνετείλαμεν Κοσμᾷ τῷ εὐλαβεστάτῳ Μοναχῷ τῷ κατὰ τοὺς τζιντζιλουκίους, ἀνδρὶ καλῶς μὲν τοὺς ἀσκητικοὺς πόνους διηγωνισμένῳ, καλῶς δὲ καὶ τὴν πνευματικὴν ἐξησκημένῳ καὶ διακυβερνᾷν εἰδότι ψυχάς, καταλαβεῖν τὸ ἅγιον ὄρος ἐπισκέψασθαί τε τὸ νοσοῦν καὶ ἰάσασθαι, καὶ ζητῆσαι μὲν πᾶσαν ἀρχαίαν καὶ συνήθειαν καὶ τύπον καὶ θεσμοὺς τῶν πατέρων, καὶ τὰς ἐπισυμβαινούσας αὐτοῖς τῶν βασιλικῶν χρυσοβούλλων πράξεις ἐπιβραβευθῆναι, καὶ κοινῇ γνώμῃ καὶ συνδιασκέψει τῶν ἐχόντων τὴν ἡγουμενίαν ἑκάστης Λαύρας καὶ τῶν πρεσβυτέρων ὑπὲρ τοὺς ἄλλους καὶ τῶν ἐπιστημονικωτέρων περὶ τὴν μοναδικὴν πολιτείαν καὶ διαγωγὴν ἀποδοῦναι τῷ ὄρει τὴν παλαιὰν πολιτείαν καὶ πάντα τὰ τῶν πατέρων συντηρηθῆναι διατάγματα· τὰ δὲ καινοτομηθέντα καὶ ἀσυνήθη, καὶ μήτε τοῖς ἐκείνων ὅροις καὶ κανόσι συμβαίνοντα καὶ τοῖς νῦν μοναχοῖς αἴτια σκανδάλων συμβαίνοντα καὶ τυγχάνοντα, καὶ μηδὲν πρὸς ἀποδοχὴν τούτοις ἢ καὶ τοῖς πλείοσιν αὐτῶν ὄντα, ἀποδοκιμάσαι τε καὶ ἀκυρῶσαι καὶ τοῦ κατὰ τοῦ ὄρους ἀπελᾶσαι πολιτεύματος. Καὶ ταῦτα μὲν ἡμεῖς ἐπισκεψάμενοι, ὁ δὲ εὐλαβέστατος μοναχὸς εἰς τὸ ὄρος ἀφίκετο, καὶ συνελθόντων τῶν ἑκατέρων τῶν μερῶν ἡγουμένων καὶ ἄλλων οὐκ ὀλίγων Μοναχῶν, ἐζήτησε πάντα ὧν ἕνεκα πρὸς ἀλλήλους ἐστασίαζε, ἐπῆλθε τε καὶ τὸ τοῦ ὄρους Τυπικὸν καὶ κανόνες τῶν πατέρων, καὶ ἄριστα πάντα καὶ κατὰ λόγον ποιμαντικῶς διῳκήσατο· τά τε γὰρ ἀμεληθέντα τῶν πρώτων διαταγμάτων ἀνεκαίνισέ τε καὶ μένειν καὶ ἐνεργεῖν καὶ αὖθις παρεσκεύασε, καὶ τὰ καινισθέντα ἔπη καὶ φθαρέντα τῷ καλῷ τοῦ ὄρους πληρώματι καὶ μὴ πρῶτον γινωσκόμενα ὡς ἀλλότρια τοῦ ἔθνους τῶν πατέρων ἐβδελύξατό τε καὶ ἀπεδοκίμασε, καὶ ὅσα σκανδάλων αἴτια καὶ ἔριδος καὶ μάχης τοῖς ὀρεσιτρόφοις ἀνδράσιν ὑπῆρχεν ἐπεσκέψατό τε καὶ διορθώσατο καὶ πᾶσι τὸν προσήκοντα τύπον καὶ τάξιν ἀποδέδωκε, καὶ οὐδὲν καταλέλοιπεν ἀδιατύπωτον· καὶ εἴ τινα γὰρ ἡ τῶν καιρὸν εἰσήνεγκε χρεία, διὰ τὸ πληθυνθῆναι τινὰς τῶν Λαυρῶν καὶ εἰς πληθυσμὸν ἐπιδοῦναι, εἴτε καὶ δι' ἄλλην αἰτίαν, καὶ οὐ περιείληπται ταῦτα τοῖς τοῦ ὄρους κανόσι, καὶ τούτων φροντίδα ἔθετο καὶ κοινῇ συνδιασκέψει τὸ προσῆκον καὶ ἐπὶ τούτοις διεπράξατο· καὶ πάντων ἐγγράφως δέδωκε τοὺς τύπους ὡς καὶ τὰς οἰκονομίας, ἀποδε-

χθέντας μὲν παρ' ὅλων τῶν ἐν τῷ ὄρει, βεβαιωθέντας δὲ ταῖς ὑπογραφαῖς τῶν προκρίτων ἡγουμένων.

Ἐπειδὴ δὲ καὶ τῇ βασιλικῇ ἡμῶν ἐνεφανίσθη τὸ τοιοῦτον Τυπικὸν ἐξουσίᾳ καὶ καλῶς ἔχειν ἐπὶ πᾶσιν ἔδοξε, τοῦτο μὲν τῇ σφραγῖδι ἐσφραγίσαμεν καὶ κατὰ τὰς συνάξεις ἑκάστης μεμβράνης τὸ διὰ κινναβάρεως κανικλώματι ἐκυρώσαμεν, ἵνα μηδὲν μηδέποτε περὶ αὐτὸ κακουργηθείη. Θεσπίζομεν δὲ διὰ τοῦ παρόντος Χρυσοβουλλίου λόγου εἰς τοὺς ἑξῆς ἅπαντας καὶ διηνεκεῖς χρόνους, πάντα τὰ εἰρημένα ἐν τῷ εἰρημένῳ Τυπικῷ διατεταγμένα ἀπαράθραυστα συντηρεῖσθαι καὶ ἀναλλοίωτα καὶ πᾶσιν ὑπαγορεύομεν τὴν τῶν κανονικῶν ἐπιτιμίων ἐπαγωγὴν καὶ τὴν ἐκ τοῦ βασιλικοῦ νόμου παιδείαν.

Τούτου γὰρ χάριν καὶ ὁ παρὼν Χρυσοβούλλιος λόγος τῆς βασιλείας μου ἐγένετο, ὃς καὶ ἐπεβραβεύθη τοῖς δηλωθεῖσι πατρᾶσι τοῖς ἐν τῷ ἁγίῳ ὄρει τοῦ Ἄθω ἀσκουμένοις, εἰς βεβαίαν καὶ διηνεκῆ ἀποφασιστικὴν ἀσφάλειαν.

Ἀπολυθὲν κατὰ μῆνα Ἰούνιον τῆς νῦν ἐντυχούσης Ἰνδικτιῶνος δ'.

Ἐν ᾧ καὶ τὸ ἡμέτερον εὐσεβές καὶ θεοπρόβλητον ὑπεσημήνατο κράτος ϛφνδ'.

† Κωνσταντῖνος ἐν Χριστῷ τῷ Θεῷ πιστὸς βασιλεὺς καὶ Αὐτοκράτωρ Ρωμαίων.

Ὅρος καὶ τύπος τοῦ ὄρους Ἄθω γενόμενος ἐπὶ τῆς βασιλείας Μανουὴλ τοῦ Παλαιολόγου [1].

Τιμιώτατοι πατέρες, οἱ τὴν Ἀγγελικὴν πολιτείαν διάγοντες ἐν τῷ ἁγίῳ ὄρει τοῦ Ἄθω, οἱ ἐν ταῖς Μοναῖς οἰκοῦντες καὶ οἱ ἐν ἡσυχίᾳ ὄντες, πάντες οἱ φοβούμενοι τὸν Θεὸν καὶ ἐν τῷ νόμῳ αὐτοῦ πορευόμενοι, χάρις, ἔλεος, καὶ εἰρήνη ἀπὸ Θεοῦ εἴη μετὰ πάντων ὑμῶν. Γνωστὸν ὑμῖν ἔστω πῶς ἐν τῇ ἁγίᾳ Συνόδῳ ἐδήλωσεν ἡμῖν ὁ πανοσιώτατος πρῶτος κὺρ Δομέτιος ἱερομόναχος, ὃν πρὸ καιροῦ ἐλθόντα ἐχει-

[1] Τὸ Τυπικὸν τοῦτο παρέλιπον νὰ ἀνενέγκω ἐν σελ. 152. Συνετάχθη ἔτει 1393 ἕνεκα νέων διαταράξεων καὶ ἀταξιῶν ἐν Ἄθῳ ὧν ἀφορμὴ κυρίως ὑπῆρξαν αἱ πρωτοκαθεδρίαι (Πρβλ. καὶ Γεδεὼν «ὁ Ἄθως» σελ. 115 καὶ ἑπ.).

ροτονήσαμεν, πρῶτος παντὸς τοῦ ἁγίου ὄρους, καὶ ὁ Καθηγούμενος τῆς ἁγίας βασιλικῆς Λαύρας κύριος Γρηγόριος, καὶ ἀνήγγειλαν ὅτι πῶς τινες τῶν αὐτόθι μονῶν ἀνατρέπουσι τὸν τύπον, ὃν ἔθεντο οἱ ἅγιοι πατέρες μετὰ φρικώδους καὶ ἀλύτου ἀφορισμοῦ τοῦ τηρεῖν πάντας ἀπαράθραυστον τοὺς ἐκεῖσε οἰκοῦντας ἐν τῷ προειρημένῳ ὄρει, καθὼς καὶ τὰ Σιγγίλλια τῶν ἀοιδίμων βασιλέων καὶ θείων Συνόδων διαλαμβάνουσι κρατεῖν καὶ οἰκεῖν ἐν αὐτοῖς μετὰ φόβου πολλοῦ καὶ τρόμου· νῦν δὲ ὡς ἔγνωμεν ἐτραχηλιάσατε κατὰ τοῦ ἰδίου Δεσπότου, ὡς ὁ πάλαι ἑωσφόρος, καὶ ἠδαφιάσατε τὰ ὅρια τῶν ἁγίων πατέρων, καὶ τὴν καθολικὴν Ἐκκλησίαν ὑμῶν ὁπλομαχεῖτε μετὰ σφοδρότητος· καὶ μετὰ τὴν παράβασιν τῶν ἁγίων θεσμῶν οὐκ ἐκορέσθη ὁ ταλαίπωρος ὑμῶν βίος, ἀλλ' ὡρμήθητε κινούμενοι ὑπὸ τοῦ ἐχθροῦ τῶν ψυχῶν ὑμῶν ἁρπάζειν τὰ ἀλλότρια καὶ προσηλοῦσθαι τῇ ἱεροσυλίᾳ βαβαί! τολμῶντες αἴρειν ἀθέσμως ἀπὸ τῶν ὁρίων καὶ νομίμων τῆς τοῦ πρωτάτου Ἐκκλησίας· τινὲς δὲ ἐξ αὐτῶν υἱοὶ τοῦ ψεύδους καὶ τῆς γεέννης κληρονόμοι ἠπάτησαν ἡμᾶς καὶ γραφὰς ἔλαβον πρὸς τὴν ἀπώλειαν τῶν ψυχῶν αὐτῶν· διὰ τοῦτο ἡ βασιλεία μου καὶ βασιλικὴ πρόσταξις καὶ πατριαρχικὴ ἔστειλεν αὐτοῦ τὸν πανιερώτατον Μητροπολίτην Θεσσαλονίκης κὺρ Δανιὴλ σὺν τῷ πρώτῳ καὶ ἡγουμένῳ τῆς Λαύρας, ὅπως γένηται αὐτοῦ σύναξις ὡς θέμις τῶν ἐγκρίτων λογάδων, καὶ διαιρεθῇ τὸ σύνορον τοῦ πρωτάτου καὶ τὰ δικαιώματα πάντα, ὡς διετάξαμεν αὐτῷ Συνοδικῶς. Οἱ δὲ εὑρεθέντες τότε ἐν τῇ Συνόδῳ ἀρχιερεῖς εἰσὶν οὗτοι· Μάξιμος ὑπέρτιμος Ἐφέσου, Γεννάδιος Ἡρακλείας, Μακάριος Κυζίκου, Ἀχίλλειος Κερασοῦντος, Μιχαὴλ Νικομηδείας, Γεώργιος Νικαίας, Γαβριὴλ Θεσσαλονίκης, Κλήμης Μονεμβασίας, Ἱλαρίων Τραπεζοῦντος, Συμεὼν Λαρίσσης, Νικόλαος Σερρῶν, Κυπριανὸς Τυάνων, Μητροφάνης Φιλιππουπόλεως, Ἰωσὴφ Μιτυλήνης, Ἀθανάσιος Αἴνου, Μακάριος Διδυμοτείχου, Μιχαὴλ Ἀναστασιουπόλεως, Ἀθανάσιος Μελενίκου, Δανιὴλ Βερροίας, Νεόφυτος Λακεδαιμονίας, Συμεὼν Μαρωνείας, Παίσιος Μεσημβρίας, Παῦλος Φιλαδελφείας, Ἰωὴλ Μελιτινῆς, Ἀντώνιος Σμύρνης, Νικόδημος Ζηχχίας, καὶ ὁ Ἀβιδῶν Προκόπιος. Ταῦτα δὲ φαμὲν μετὰ ἀλύτου δεσμοῦ, εἰμὴ οὐκ ἐπιστρέψωσιν εἰς τὸν ἀπ' ἀρχῆς τύπον καὶ νομοθεσίαν τῶν ἁγίων πατέρων, καὶ ὡς διαχωρίζουσιν οἱ ἀφ' ἡμῶν ἀπεσταλμένοι σὺν τοῖς εἴκοσιν ἁγίοις πατρᾶσι κατὰ τὸν παλαιὸν νόμον καὶ ὅρον οἰκοῦντες εἰς αἰῶνας· εἰδέ τις ἀντερεῖ τῶν

θείων πατέρων τῶν θεσμῶν καὶ τῶν ἡμετέρων, ἔστω ἀφωρισμένος παρὰ τῶν τιη'. Θεοφόρων πατέρων τῆς ἐν Νικαίᾳ Συνόδου καὶ τῶν λοιπῶν ἁγίων Συνόδων καὶ ἐξ ἡμῶν πάντων, καὶ ἔσονται προπορευόμενοι καὶ προκόπτοντες ὡς οἱ υἱοὶ τοῦ Χὰμ καὶ τὰ σκηνώματα αὐτῶν ἐπαυξόμενα ὡς ὁ πύργος τῆς Χαλάνης, ἐκ τούτων δὲ καὶ ἀποίσεται τὸ ἔλεος τοῦ Θεοῦ ἀπὸ τὴν μονὴν καὶ γενεὰν ἐκείνην, ἐὰν μὴ ἐπιστραφῶσιν εἰς τὸν ἀρχαῖον τύπον· ὅσοι δὲ ἐπιστρέψωσι καὶ ὑπακούσωσι τῶν πατέρων τὸν θεσμόν καὶ τὸν ἡμέτερον, πλατύνοι Κύριος αὐτοὺς ὡς τοῦ Ἰάφεθ τὴν γενεὰν καὶ κληρονομήσουσι τὴν ἡτοιμασμένην βασιλείαν ἀπὸ καταβολῆς κόσμου καὶ ἡ τοῦ Θεοῦ χάρις καὶ τὸ ἔλεος εἴη μετ' αὐτῶν, ἀμήν.

Φθασάντων ἡμῶν τοίνυν εἰς ἅγιον ὄρος κατὰ τὴν πρόσταξιν τοῦ εὐσεβεστάτου βασιλέως καὶ τῆς ἁγίας Συνόδου, εὐθὺς συνήχθησαν οἱ ἔγκριτοι καὶ λογάδες τοῦ ἁγίου ὄρους εἰς τὸ πρωτάτον, ὡς ἔθος, καὶ ἐπεδώκαμεν τὸν θεσμὸν τοῦ βασιλέως καὶ τῆς ἁγίας Συνόδου· ἐδέξαντο δὲ αὐτὰ μετὰ πολλοῦ φόβου καὶ εὐχαριστίας. Καὶ πρῶτον μὲν εὕρομεν ἀταξίαν καὶ ἀλληλομαχίαν περὶ τῶν πρωτοκαθεδριῶν τῆς συνάξεως αὐτῶν, καὶ οὕτω διετάξαμεν αὐτοὺς ὡς εὕρομεν ἀρχαῖον τύπον· πλὴν μονύδρια πολλὰ ἠρημώθησαν ὑπὸ τῶν Σαρακηνῶν καὶ ἕνεκεν τούτου καὶ ἡ τάξις αὐτῶν παρῆλθεν, ἕτερα δὲ ἐδομήθησαν ὑπὸ τῶν πιστῶν· καὶ οὕτως ἐκελεύσαμεν καθέζεσθαι ὁ πρῶτος καὶ ὁ Λαύρας ἐπίσης διὰ τὴν χειροτονίαν τοῦ Πατριάρχου, ἔχοντες καὶ βακτηρίας αὐτῶν μόνοι ὡς ἀρχηγοί· ἑκατέρωθεν δὲ τούτων ὁ τοῦ Βατοπεδίου καὶ ὁ Ἰβήρων, ὁ Χιλανδαρινοῦ καὶ Ξηροποτάμου, ὁ Καρακάλλου καὶ ὁ Ἀλυπίου, ὁ Ξενοφῶντος καὶ ὁ Ἐσφιγμένου, ὁ Ζωγράφου καὶ Δοχειαρίου, ὁ Βασιλείου Μονῆς καὶ ὁ Φιλοθέου, ὁ Παντοκράτορος καὶ ὁ Ρώσσων, ὁ Κωνσταντίου μονῆς καὶ ὁ τοῦ Χαρίτωνος ὁ τοῦ ἁγίου Παύλου καὶ καὶ ὁ τοῦ ἁγίου Διονυσίου, ὁ Ραβδούχου, καὶ ὁ Σαραβαρίου, ὁ τοῦ ἁγίου Γρηγορίου καὶ ὁ τοῦ ἁγίου Σίμωνος Πέτρας, ὁ τοῦ ἁγίου Σάββα καὶ ὁ τοῦ Μακρύ.

Ἐκ τῶν αὐτῶν ἐκλεγέσθωσαν τὸν ἐγκριτότερον καὶ πνευματικώτερον, καὶ ποιησάτωσαν πρῶτον εἰς τὸν πατριάρχην Κωνσταντινουπόλεως, ὡς ἔθος καὶ παλαιὰ παράδοσις, καὶ αὐτὸς τοὺς ἡγουμένους τῶν μοναστηρίων χειροτονείτω, ἐκτὸς τῆς Λαύρας, οὗτος γὰρ μόνος χειροτονεῖται ὑπὸ τοῦ Πατριάρχου, χρὴ δὲ σέβεσθαι τὸν πρῶτον καὶ

ὑπήκειν ὡς εἰς αὐτὸν τὸν οὐράνιον πατέρα τοίνυν καὶ ἐξουσίαν ἔχειν ὁ πρῶτος καὶ λαμβάνειν παρ' ἑκάστου μοναστηρίου, ἀπὸ μὲν τῶν μεγάλων μοναστηρίων τὸν καθέκαστον μῆνα μουζούρια δύο σίτου ἢ ἄλευρον καὶ κριθὴν ἕν, ἤτοι μουζούρια τρία, ἀπὸ δὲ τῶν ἐλάσσω μονῶν δύω μουζούρια τὸν μῆνα ὄσπρια καὶ ἄλλας χρείας κατὰ τὴν ἑκάστου δύναμιν.

Εἰς δὲ τὴν Ἐκκλησίαν τοῦ πρωτάτου δώδεκα Ἐκκλησιαστικοὶ οὐδαμῶς ἐκλειπέτωσαν· ὁ Λαύρας καὶ ὁ Βατοπαιδίου δύω τοῦ δεξιοῦ χοροῦ· ὁ Ἴβηρ καὶ Χιλανδαρινὸς δύω τοῦ ἀριστεροῦ χοροῦ· τὰ δὲ ἕτερα μοναστήρια τοὺς ὀκτὼ χοροὺς παρέχειν τε αὐτοῖς ἀνὰ ἓν μουζούριον τὸν καθέκαστον μῆνα καὶ πόδεσιν ἐλαίου, κηροῦ, θυμιάματος τὸ ἀρκοῦν· καὶ ταῦτα τάττομεν μετὰ ἀλύτου δεσμοῦ ἀφορισμοῦ μὴ ὑστερεῖσθαι ἡ τοῦ πρωτάτου Ἐκκλησία τούτων ὅλως καὶ μὴ περιφρονεῖσθαι τὴν σύναξιν τοῦ ἁγίου ὄρους. Ἀλλοῦν οἱ ἡγούμενοι οἱ πνευματικοὶ ἄνδρες παρήτωσαν πρὸς τὸ διορθῶσαι καὶ εἰρηνεύειν τὰ πάντα· εἶτα ὑπὸ ἄλλων ποιείτωσαν τὰς δουλείας ἐντὸς καὶ ἐκτός· ὁμοίως κατὰ τὸν τρόπον τοῦ πρώτου ἐκλεγέτωσαν καὶ ἕνα εἰς ἐπίσκοπον, καὶ ὑπ' αὐτοῦ χειροτονεῖσθαι τοὺς ἱερεῖς καὶ διακόνους· ἄνευ τοιγαροῦν ἐτῶν εἰκοσιπέντε μὴ εἰσερχέσθω εἰς διακόνου βαθμόν, εἰς δὲ τριάκοντα πρεσβύτερον· εἰδὲ ἐλάττω τῶν εἰρημένων χρόνων, ὁ χειροτονῶν σὺν τῷ χειροτονοῦντι καθαιρείσθω κατὰ τοὺς θείους νόμους. Ὅσα δὲ Σταυροπήγια μοναστήρια ὑπάρχουσι τοῦ ἁγίου ὄρους τὸ ὄνομα τοῦ Πατριάρχου ἀναφέρειν καὶ μόνον· εἰς δὲ τὸν τοῦ τόπου ἐπίσκοπον χειροτονείτωσαν· μήτε τοῦ Πατριάρχου ἔξαρχον, μήτε ἄλλου τινὸς ἐξουσίαν ἔχειν εἰς τὸ ἅγιον ὄρος ἄνευ ἐρωτήσεως καὶ θέλημα τοῦ πρώτου μηδενὸς μοναστηρίου ποιείτω χειροτονίαν ἄνευ γράμματος καὶ συγχωρήσεως τοῦ πρώτου.

Περὶ κοσμικῶν

Λαϊκοὶ δὲ προσποιείτωσαν καὶ αὐτοὶ ἔτη τρία, εἶτα ἢ ἀποκειρέσθωσαν ἢ ἐξωθείσθωσαν ἔξω τοῦ ὄρους· εἰδὲ μὴ ἔστωσαν καὶ αὐτοὶ ὑπὸ ἐπιτίμιον· θηλυκὰ ζῶα μηδεὶς εἰσαγαγέτω ἐντὸς τοῦ ὄρους, μηδὲ λαϊκοῖς ἀφιέναι ὅλως νέμεσθαι θηλυκὰ ἢ ἀρσενικὰ ζῶα· ὅρος καὶ νόμος τῶν ἀμφοτέρων ἔστω ἕως τῆς μεγάλης βίγλας, περαιτέρω δὲ μὴ προ-

βῆναι· εἰδέ τις τούτων καταφρονήσῃ, ἔστω καὶ αὐτὸς ὑπὸ ἐπιτίμιον.
